schol. Soph. Aiac. 190 *(Di)*: Σισυφιδᾶν: (γράφε Σισυφίδα). (I) λέγεται δὲ ἡ Ἀντίκλεια ἀποστελλομένη ἀπὸ Ἀρκαδίας ἐπὶ Ἰθάκην πρὸς Λαέρτην ἐπὶ γάμον κατὰ τὴν ὁδὸν Σισύφωι συνελθεῖν ἐξ οὗ ἦν φύσει Ὀδυσσεύς· (II) ὁ δὲ Σίσυφος Κορίνθου βασιλεὺς πανοῦργος ἀνήρ, περὶ οὗ φησιν Ὅμηρος (Ζ 153), ὃ κέρδιστος γένετ' ἀνδρῶν, ὅστις ὑπὸ τοὺς ὄνυχας καὶ τὰς ὁπλὰς τῶν ζώιων ἑαυτοῦ μονογράμματον ἔγραψεν τὸ ὄνομα αὐτοῦ. Αὐτόλυκος δὲ κατ' ἐκεῖνο καιροῦ (τ 395) ἐκέκαστο κλεπτοσύνηι θ' ὅρκωι τε' καὶ αὐτὰ τὰ κλεπτόμενα παρ' αὐτοῦ τὴν μορφὴν ἤλλασσεν· κλέψας οὖν καὶ Σισύφου θρέμματα καὶ μεταβαλὼν ὅμως οὐκ ἔλαθε τὸν Σίσυφον· ἐπέγνω γὰρ αὐτὰ διὰ τῶν μονογραμμάτων· ἐπὶ τούτοις δὲ ἐξευμενιζόμενος τὸν Σίσυφον ἐξένισεν αὐτὸν καὶ τὴν θυγατέρα αὐτοῦ Ἀντίκλειαν συγκατέκλινεν αὐτῶι καὶ ἔγκυον ἐξ αὐτοῦ γενομένην τὴν παῖδα συνώικισε Λαέρτηι, δι' ὃ Σισύφου ὁ Ὀδυσσεύς· (III) τὸν δὲ Ὀδυσσέα Σισύφου συνήθως φησὶ Σοφοκλῆς· καὶ ἐν Συνδείπνωι (fr. 142)·

ὦ πάντα πράσσων, ὡς ὁ Σίσυφος πολὺς
ἔνδηλος ἐν σοὶ πάντα χὠ μητρὸς πατήρ,

καὶ Αἰσχύλος ἐν Ὅπλων κρίσει (fr. 175)·

Ἀλλ' Ἀντικλείας ἆσσον ἦλθε Σίσυφος,
τῆς σῆς λέγω σοι μητρὸς ἥ σ' ἐγείνατο,

καὶ Εὐριπίδης ἐν Κύκλωπι (vv. 102—4)·

χαῖρ' ὦ ξέν'· ὅστις δ' εἶ φράσον πάτραν τε σήν.
Ἴθακος Ὀδυσσεύς, γῆς Κεφαλλήνων ἄναξ.
οἶδ' ἄνδρα, κρόταλον δριμύ, Σισύφου γένος.

Ubi quae altero loco (II) exstat fabula, eam pro Hesiodea habuerim (fr. 136); neque enim suspicione caret supscriptio scholii τ 432,

ubi eiusdem fabulae vilis particula prostat, ἡ ἱστορία παρὰ Φερεκύδηι (fr. 63).

schol. Lyc. 344 *(Th)*: τῆς Σισυφείας: κατά τινας ὁ Ὀδυσσεὺς υἱὸς Σισύφου ἐστίν· φασὶ γὰρ πρῶτον τὴν Ἀντίκλειαν ὑπὸ Σισύφου διακορηθῆναι καὶ ἔγκυον γενέσθαι τὸν Ὀδυσσέα[1]) καί εἶθ' οὕτως συνοικῆσαι τῶι Λαέρτηι.

de loco natali:

ibid. 786 *(Th)*: ὃν Βομβύλειας κλιτὺς:..... λέγει οὖν, ὅντινα ἡμῖν ἡ Βοιωτία κακὸν ἀνέθρεψε· λέγει δὲ τὸν Ὀδυσσέα· ἐν γὰρ Βοιωτίαι ἡ Ἀντίκλεια τὸν Ὀδυσσέα ἐγέννησεν.

Ubi Istri (fr. 52: = Plut. q. Graec. 43) sententiam praeberi docet schol. Ψ 783 T *(As)*: μήτηρ ὡς Ὀδυσσῆι:... ὁ δὲ Ἴστρος ἐκτεθῆναι ὑπὸ Ἀντικλείας Ὀδυσσέα φησὶν ἐν Ἀλαλκομενοῖς τῆς Βοιωτίας ἥ ἐστιν ἱερὰ Ἀθηνᾶς.

de nomine:

schol. α 75 (aut *As* aut *Pp*): Ὅμηρος μὲν ἐτυμολογῶν τὸν Ὀδυσσέα πεποίηκε τὸν Αὐτόλυκον λέγοντα ‚πολλοῖσιν γὰρ ἐγὼ δὴ ὀδυσσάμενος τόδ' ἱκάνω' (τ 407), Σιληνὸς δὲ ὁ Χῖος (III 100) ἐν δευτέρωι μυθικῶν ἱστοριῶν (ἔστι δὲ δύο βιβλία) Ἀντίκλειάν φησι τὴν Ὀδυσσέως μητέρα ἐγκύμονα ὁδεύουσαν παρὰ τὸ Νήριτον, ὅπερ ἐστὶ τῆς Ἰθάκης ὄρος, ὕσαντος πολὺ τοῦ Διὸς ὑπὸ ἀγωνίας καὶ φόβου καταπεσοῦσαν τὸν Ὀδυσσέα ἀποτεκεῖν καὶ διὰ τοῦτο ταύτης τῆς ὀνομασίας τυχεῖν ἐπειδὴ κατὰ τὴν ὁδὸν ὗσεν ὁ Ζεύς (idem apud Eust. ad τ 407).

de Spartis (cf. fr. VIII): 5

schol. Pind. Isthm. VII 13 *(Di)*: ἢ Σπαρτῶν ἀκαμαντολογχᾶν: τῶν κατὰ τὰς Θήβας ἀναδοθέντων ἐκ τῶν δρακοντείων ὀδόντων, ὧν καὶ Εὐριπίδης (Phoen. 674) μέμνηται. ἢ Σπαρτῶν φησι τῶν ἄγαν πολεμικῶν. ὁ γὰρ Φερεκύδης (fr. 44 = fr. Lys.) διττά φησιν εἶναι Σπαρτῶν γένη· τὸν γὰρ Ἄρη καὶ τὴν Ἀθηνᾶν τοὺς μὲν ἡμίσεις τῶν ὀδόντων Κάδμωι δοῦναι τοὺς δὲ ἡμίσεις Αἰήτηι. Ἀνδροτίων δέ (fr. 28) φησι φυγόντα ἐκ τῆς Φοινίκης τὸν Κάδμον μετὰ ἱκανῶν σποράδων[2]) κατελθεῖν εἰς Θήβας, ὅθεν διὰ τὸ συμμιγὲς καὶ σποράδην εἶναι Σπαρτοὶ ἐκλήθησαν. ‚οἱ δὲ Θηβαῖοι τὰ περὶ αὐτῶν ψευδῶς ἐτερατούργησαν.'

---

[1]) Aut τοῦ Ὀδυσσέως scribendum aut scholium supplendum esse censet Kaibelius sic fere: καὶ ἔγκυον γενομένην ⟨κατὰ τὴν ὁδὸν ἀποτεκεῖν⟩ τὸν Ὀδυσσέα: cf. scholl. Soph. Aiac 190 (I), Ψ 783 (Istri fr. 52), α 75.

[2]) στρατιωτῶν scribendum esse vidit Kaibelius.

scholl. ad Eur. Phoen. 670 duo (aut *d* aut *o*):

a) ἔνθεν ἐξανῆκε γᾶ: ἔνθεν, ἐκ τῶν ὀδόντων, ἐξεκύησεν ἡ Γῆ ὁπλοφόρους ἄνδρας. εἰσὶ δὲ οὗτοι οἱ ἐξ αὐτῶν ὑπολειφθέντες· Πέλωρ Ἐχίων Οὐδαῖος Χθόνιος Ὑπερήνωρ (cf. Pherec. fr. 44), κατὰ δὲ Τιμαγόραν (IV 520) καὶ Κρέων ἀφ' οὗ γέγονε... («suppleas ὁ ἕτερος Κρέων talia» Schwartz cf. schol. 941. 942)[1].

b) ἄλλως: ὁ μὲν Στησίχορος ἐν Εὐρωπείαι (fr. 15) τὴν Ἀθηνᾶν ἐσπαρκέναι τοὺς ὀδόντας φησιν· ὁ δὲ Ἀνδροτίων (fr. 29 = 28) Σπαρτοὺς αὐτούς φησι διὰ τὸ ἀκολουθήσαντας αὐτοὺς ἐκ Φοινίκης Κάδμωι σποράδην οἰκῆσαι. Ἀμφίλοχος δὲ (IV 300) διὰ τὸ ἐπεσπάρθαι τοῖς οἰκοῦσιν ἐν Θήβαις. Διονύσιος δὲ (cyclogr. fr. 2 = Hippias, Atrometus fr. VIII) ἔθνος Βοιωτίας φησὶν αὐτούς. ἔνιοι δὲ παῖδας Κάδμου αὐτούς φασιν ἐκ διαφόρων γυναικῶν πεντήκοντα τὸν ἀριθμὸν ὄντας.

6 de Sphinge (cf. fr. XI):

scholl. Eur. Phoen. 45 duo (aut *d* aut *o*): ὡς δ' ἐπεζάρει:...
a) ζάρος ὄρνεόν ἐστιν ἁρπακτικόν. τὴν δὲ Σφίγγα οἳ μὲν[2]) ἔχειν πρόσωπον μὲν παρθένου στῆθος δὲ καὶ πόδας λέοντος πτερὰ δὲ ὄρνιθος· Σωκράτης δὲ (fr. 13) ἐγχωρίαν αὐτὴν χρησμολόγον φησὶ δύσγνωστα μαντευομένην, ἅπερ ἀγνοοῦντες οἱ Θηβαῖοι καὶ ἐναντίως αὐτοῖς χρώμενοι ἀπώλοντο. Ἀσκληπιάδης δὲ (fr. 21) λέγει τοὺς Θηβαίους εἰς ἐκκλησίαν καθ' ἑκάστην ἀθροίζεσθαι διὰ τὸ δυσαίνιγμα[3]) τῆς Σφιγγός· λόγιον γὰρ ἦν αὐτοῖς μὴ ἀπαλλαγήσεσθαι τῶν κακῶν πρὶν ἂν τοὺς τῆς Σφιγγὸς λύσειαν χρησμούς· ὁπότε δὲ μὴ συνίοιεν, ἁρπάζειν αὐτὴν ὅντινα ἂν βούλοιτο τῶν πολιτῶν. b) ἐπέκειτο κακοποιοῦσα. ἁρπασθῆναι δέ φασιν ὑπ' αὐτῆς Αἵμονα τὸν Κρέοντος παῖδα. τινὲς δέ φασιν ὅτι μία τῶν σὺν ταῖς Κάδμου θυγατράσι μανεισῶν μετεβλήθη εἰς τὸ ζῶιον τὴν Σφίγγα.

Ubi quisnam primum teneat locum (ἁρπασθῆναι δέ φασιν), patet e scholio artissime et cum a) et cum b) cohaerenti

ad 1760 (cod. Mon. 560): οἱ τὴν Οἰδιποδίαν γράφοντες (fr. 2) [οὐδεὶς οὕτω φησὶ περὶ τῆς Σφιγγὸς]·

---

[1]) Quae ad v. 942 ut ex Aeschylea fabula leguntur (N. 110), cum locus non planus sit, abicienda sunt.

[2]) = Ascl. Trag. fr. 21, cf. Robert d. Ap. bibl. 72 sq.: resecasse videtur grammaticus hanc ab integro fragmento particulam quoniam cum ipsa interpretatione (ζ. ὄρνεον ἁρπ. = ... πτερὰ ὄρνιθος) cohaeret.

[3]) διὰ τὸ λῦσ⟨αι μὴ δύνασθαι τὸ⟩ αἴνιγμα coni. Kaibel.

ἀλλ' ἔτι κάλλιστόν τε καὶ ἱμεροέστατον ἄλλων
παῖδα φίλον Κρείοντος ἀμύμονος Αἵμονα δῖον.

καί φασιν ὅτι οὐκ ἦν θηρίον, ὡς οἱ πολλοὶ νομίζουσιν, ἀλλὰ χρησμολόγος δύσγνωστα τοῖς Θηβαίοις λέγουσα, καὶ πολλοὺς αὐτῶν ἀπώλλυεν ἐναντίως τοῖς χρησμοῖς χρωμένους (= Socrat. fr. 13).

schol. ibid. 50: αἴνιγμ' ἐμὸς παῖς: ἄλλως: τὸ αἴνιγμα Ἀσκληπιάδης οὕτως ἀναγράφει (fr. 21)·

ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον οὗ μία φωνή,
καὶ τρίπον, ἀλλάσσει δὲ μόνον φύσιν ὅσσ' ἐπὶ γαῖαν
ἕρπετα γίνηται ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον.
ἀλλ' ὁπόταν τρισσοῖσιν ἐρειδόμενον ποσὶ βαίνηι,
ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

τὴν δὲ λύσιν τοῦ αἰνίγματος οὕτως φασί τινες εἰρῆσθαι·

κλῦθι καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων,
φωνῆς ἡμετέρης, σῆς τέλος ἀμπλακίης·
ἄνθρωπον κατέλεξας, ὃς ἡνίκα γαῖαν ἐφέρπει
πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων,[1])
γηραλέος δὲ πέλων τρίτατον πόδα βάκτρον ἐρείδει
αὐχένα φορτίζων γήραι καμπτόμενος.

τινὲς δέ φασι τύχηι λῦσαι τὸ αἴνιγμα καὶ δακτυλοδεικτεῖν * * ὅ ἐστι τὸν ἄνθρωπον * * ἑαυτὴν διέσπαραξεν.[2])

schol. Lyc. 7 *(Th)*: Σφιγγὸς κελαινῆς: αὕτη ἡ Σφὶγξ θυγάτηρ γέγονε Λαίου (= fr. Lys.), ἔμπροσθε μὲν εἶδος ἔχουσα λέοντος, ὄπισθε δὲ ἀνθρώπου (cf. Asclep. fr. 21: neque satis accurate adumbravit illud scholiasta)· φανεῖσα δὲ τοῖς ἐντοπίοις εἶπε τοιοῦτον αἴνιγμα·

ἔστι δίπουν κτλ.: sequuntur oraculi versus, quorum quod scriptura differt neglegere licet (cf. Schwartz I 243/244).

πρὸς ἣν ἀπεκρίθησαν ὅτι τὸ αἴνιγμα τοῦτο ἄνθρωπον σημαίνει· ὅταν γὰρ γεννηθῆι ὁ παῖς, περιπατεῖ τετραποδιστί· αὐξηθεὶς δὲ διὰ δύο ποδῶν, καὶ γηράσκων διὰ τριῶν, ὅτι μετὰ ῥάβδου βαίνει.

---

[1]) ‚Post λαγόνων excidisse distichon vidit Münzel', ann. Schw.; res comprobatur λύσεως forma pedestri in schol. Lyc. 7 allata (αὐξηθεὶς δὲ διὰ δύο ποδῶν.)

[2]) Quae extremo loco leguntur corrupta et mutilata, eis adumbrari videtur fabula quaedam, qua Oedipus casu quodam opportuno usus aenigma solvisse fertur (haec fere: ..... λῦσαι τὸ αἴνιγμα· [καὶ] δακτυλοδεικτεῖν ⟨γὰρ αὐτὸν ἀπὸ τοῦ αὐτομάτου⟩, ὅθεν (OЄCTI codd.) τὸν ἄνθρωπον ⟨σημανθῆναι ὑπ' αὐτοῦ ὑποπτεύσασα ἡ Σφὶγξ⟩ ἑαυτὴν διεσπάραξεν.

7 de Achille et Neoptolemo (cf. fr. I, III/IV):

schol. ad T 326 T *(Aa)*: ὃς Σκύρωι — ἐνὶ τρέφεται: τινὲς μὲν ἐκεῖ ἐκτεθῆναι αὐτὸν ὑπὸ Θέτιδος, ὁ δὲ τὴν μικρὰν Ἰλιάδα (sc. ποιήσας: fr. 4) ἀναζευγνύντα αὐτὸν ἀπὸ Τηλέφου προσορμισθῆναι ἐκεῖ·

Πηλείδην δ' Ἀχιλῆα φέρε Σκῦρόνδε θύελλα.
Ἔνθα γ' ἐς ἀργαλέον λιμέν' ἵκετο νυκτὸς ἐκείνης.

.....ἔστι δέ, ὥς τινες, ἐξ Ἰφιγενείας (sc. ὁ Νεοπτόλεμος)· φησὶ γὰρ Δοῦρις (fr. 3) ὅτι κλαπεῖσα εἰς Σκῦρον ἐξετέθη.

schol. Lyc. 183 *(Th)*: ..... ἐπεὶ κατά τινας ὁ Πύρρος ἐκ ταύτης (sc. ἐξ Ἰφιγενείας) καὶ Ἀχιλλέως ἐγένετο. μετὰ δὲ τὸ σφαγῆναι αὐτὴν παρέθετο ὁ Ἀχιλλεὺς τὸν παῖδα τῆι Δηιδαμείαι ἐν Σκύρωι.

Quo cum loco cohaerere videtur schol. Serv. Dan. ad Aen. II 477: ..... *Deidamiae: quam Achilles commendatus ibi a matre Thetide vitiat, unde Pyrrhus natus est. quamvis alii volente Lycomede Deidamiam Achilli datam in matrimonium dicunt.*

8 de Thetidis et Pelei nuptiis (cf. fr. I):

schol. Andr. 17 *(Di)*: (Φθίας..... πεδί', ἵν' ἡ θαλασσία Πηλεῖ ξυνώικει χωρὶς ἀνθρώπων Θέτις φεύγουσ' ὅμιλον· Θεσσαλὸς δέ νιν λεὼς Θετίδειον αὐδᾶι κτλ): τοῦτο ἀπὸ ἱστορίας εἴληφεν. αὐτόθι [γὰρ αὐτῆι συνώικησεν Πηλεύς· καὶ ἦν ὑπ' Ἀχιλλέα τὸ Θετίδειον ὅπερ ἐστὶ πόλις Θεσσαλίας, ὥς φησι Φερεκύδης (IV 638) καὶ Σουίδας (fr. 5b: ibid.).

schol. Pind. Nem. IV 81 *(Di)*: Θέτις δὲ κρατεῖ Φθίαι: ἀντὶ τοῦ ἐν Φθίαι. Φύλαρχός (fr. 82) φησι Θέτιν πρὸς Ἥφαιστον ἐλθεῖν εἰς τὸν Ὄλυμπον ὅπως Ἀχιλλεῖ ὅπλα κατασκευάσηι· τὸν δὲ ποιῆσαι· ἐρωτικῶς δὲ ἔχοντα τὸν Ἥφαιστον πρὸς τὴν Θέτιν οὐ φάναι ἀποδώσειν[1]) αὐτῆι εἰ μὴ αὐτῶι προσομιλήσαι· τὴν δὲ αὐτῶι ὑποσχέσθαι· θέλειν μέντοι ὁπλίζεσθαι ὅπως ἴδηι εἰ ἁρμόζει ἃ ἐπεποιήκει ὅπλα τῶι Ἀχιλλεῖ· ἴσην γὰρ αὐτὴν ἐκείνωι ἔλεγε. τοῦ δὲ παραχωρήσαντος ὁπλισαμένην τὴν Θέτιν φυγεῖν· τὸν δὲ οὐ δυνάμενον καταλαβεῖν σφῦραν λαβεῖν καὶ πατάξαι εἰς τὸ σφυρὸν τὴν Θέτιν· τὴν δὲ κακῶς διατεθεῖσαν ἐλθεῖν εἰς Θετταλίαν καὶ ἰαθῆναι ἐν τῆι πόλει ταύτηι τῆι ἀπ' ἐκείνης Θετιδείωι καλουμένηι. ἔοικε δὲ ὁ Πίνδαρος μνημονεύειν τοῦ Θετιδείου περὶ οὗ ἐν πρώτωι Φερεκύδης οὕτω γράφει (fr. 16)· Ἔπειτα Πηλεὺς ὤιχετο εἰς Φθίαν καὶ Θέτιν ἐπὶ τῶν ἵππων τού-

1) em. Kaibel.: ἂν δώσειν trad.

των ἄγων οἰκεῖ ἐν Φαρσάλωι καὶ ἐν Θετιδείωι ὃ καλεῖται ἀπὸ τῆς Θέτιδος ἡ πόλις'. § ὁ δὲ νοῦς οὕτως· ἡ δὲ Θέτις ἄρχει . . . τῆς Φθίας, ἔνθα ἐστὶ καὶ τὸ Θετίδειον ἱερὸν, ὡς καὶ Εὐριπίδης ἐν Ἀνδρομάχηι.

schol. Pind. Nem. III 60 *(Di)*: καὶ πόντιαν Θέτιν κατέμαρψεν: ἀντὶ τοῦ περιεγένετο αὐτῆς τῶν ἐπιβουλῶν· διωκομένη γὰρ ὑπ' αὐτοῦ μετέβαλλε τὰς μορφὰς ὁτὲ μὲν εἰς πῦρ ὁτὲ δὲ εἰς θηρία· ὁ δὲ καρτερήσας περιγέγονε. περὶ δὲ τῆς μεταμορφώσεως αὐτῆς καὶ Σοφοκλῆς φησιν ἐν Τρωίλωι (fr. 561)·

ἔγημεν ὡς ἔγημεν ἀφθόγγους γάμους,
τῆι παντομόρφωι Θέτιδι συμπλακείς ποτε,

καὶ ἐν Ἀχιλλέως ἐρασταῖς (fr. 154)·

τίς γάρ με μόχθος οὐκ ἐπεστάτει; λέων
δράκων τε πῦρ ὕδωρ......

schol. Andr. 1265 *(Di)*: ἐλθὼν παλαιᾶς χοιράδος:..... πέτραν οὖν φασί τινα σπήλαιον ἔχουσαν ἐν ὧι εἰώθει διατρίβειν ἐκ θαλάσσης ἀνιοῦσα ἡ Θέτις. Σηπιὰς δὲ τόπος περὶ τὸ σπήλαιον ὅπου τὴν Θέτιν ἥρπασεν ὁ Πηλεὺς εἰς σηπίαν μεταβληθεῖσαν = schol. Ap. I 582, et. m. 711$_{20}$, unde Tzetz. ad Lyc. 178.

de Hercule et Euryto (cf. fr. XV): 9

schol. Soph. Trach. 354 *(Di)*: τήν θ' ὑψίπυργον Οἰχαλίαν: Φερεκύδης (fr. 34) φησὶν οὕτως· Μετὰ δὲ τὸν ἀγῶνα Ἡρακλῆς ἀφικνεῖται πρὸς Εὔρυτον τὸν Μελανέως τοῦ Ἀρκεσιλάου εἰς τὴν Οἰχαλίαν — ἔκειτο δὲ αὕτη ἐν Θούληι τῆς Ἀρκαδίας — καὶ ᾔτει τὴν θυγατέρα Ὕλλωι γυναῖκα· τοῦ δὲ μὴ δόντος Ἡρακλῆς εἷλε τὴν Οἰχαλίαν καὶ τοὺς υἱοὺς ἔκτεινεν, Εὔρυτος δὲ ἔφυγεν εἰς Εὔβοιαν.' Μενεκράτης (II 345) δὲ οὕτω λέγει· 'Ἡρακλέα εἰς ἐπιθυμίαν Ἰόλης ἀφικέσθαι τῆς Εὐρύτου, τὸν δὲ μὴ θέλειν διδόναι· ἧρα τε γὰρ αὐτῆς καὶ μίγνυσθαι ἔμελλεν τῆι θυγατρὶ εἰ μὴ Ἀργεῖοι ἐξῆλθον εἰς τὴν Εὔβοιαν'.

Menecrates et hoc loco et fragm. X advocatur idem, dico Xanthium: de Pindari interprete, Aristarchi discipulo, falsissime cogitavit Müllerus l. s.

Addendum erit scholium ad v. 264: ἐπερρόθησε: σφοδρῶς ὕβρισεν· ἢ εἰς τὴν παιδοκτονίαν τῶν ἀπὸ Μεγάρας τέκνων ἢ ὅτι πολλαῖς πρώιην ὡμίλησεν γυναιξὶν ὡς Ἡρόδωρος, si quidem Wilamowitzius traditam scripturam Ἀπολλόδωρος recte mutasse videbitur.

de Theseidis (cf. fr. VI): 10

schol. Hec. 123 *(Di)*: = pag. 29.

11 de Andromacha Aeneaque captivis, Astyanacte interfecto (cf. fr. III, VI, VII):

schol. Eur. Andr. 14 *(Di):* (Νεοπτολέμωι) δορὸς γέρας (δοθεῖσα λείας Τρωικῆς ἐξαίρετον sc. Ἀνδρομάχη):

Σιμίας ἐν τῆι Γοργόνι (an. Al. 46 sq.) Ἀνδρομάχην φησὶ καὶ Αἰνείαν γέρας δοθῆναι Νεοπτολέμωι λέγων οὕτως·

ἐκ δ' ἕλετ' Ἀνδρομάχειαν, ἐύζωνον[1]) παράκοιτιν
Ἕκτορος, ἣν τοιούτωι[1]) ἀριστῆες Παναχαῖοι
δῶκαν ἔχειν ἐπιήρον ἀμειβόμενοι γέρας ἀνδρί·
αὐτός[1]) τ' Ἀγχίσαο κλυτὸν γόνον ἱπποδάμοιο
Αἰνείην ἐν νηυσὶν ἐμήσατο ποντοπόροισιν
ἐκ πάντων Δαναῶν ἀγέμεν γέρας ἔξοχον ἄλλων.

Cuius scholii pleniorem formam expressit Tzelzes ad Lyc. 1263: Λέσχης δὲ ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκὼς Ἀνδρομάχην [καὶ Αἰνείαν αἰχμαλώτους][2]) φησὶ δοθῆναι τῶι Ἀχιλλέως υἱῶι Νεοπτολέμωι καὶ ἀπαχθῆναι σὺν αὐτῶι εἰς Φαρσαλίαν τὴν Ἀχιλλέως πατρίδα· φησὶ γὰρ οὑτωσί (fr. 18)·

Αὐτὰρ Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱὸς
Ἑκτορέην ἄλοχον κάταγεν κοίλας ἐπὶ νῆας·
παῖδα δ' ἑλὼν ἐκ κόλπου ἐυπλοκάμοιο τιθήνης
ῥίψε ποδὸς τεταγὼν ἀπὸ πύργου· τὸν δὲ πεσόντα
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
[ἐκ δ' ἕλετ' Ἀνδρομάχην ἐύζωνον κτλ. .... v. s.][2])

12 de Scamandrio Aenea reliquis ex urbis ruina superstitibus (cf. fr. VII, XVII, XVIII):

schol Andr. 224 *(d):* καὶ μαστὸν ἤδη πολλάκις νόθοισι σοῖς (sc. τοῦ Ἕκτορος) ἐπέσχον (verba sunt Andromachae): τοῦτο παρὰ τὴν ἱστορίαν φασὶν εἰρῆσθαι *(Did.)*· μὴ γὰρ ἱστορεῖσθαι Ἕκτορι ἐξ ἄλλης γυναικὸς γεγενῆσθαι υἱούς. ἀπερίσκεπτοι δέ εἰσιν οἱ ταῦτα λέγοντες. Ἀναξικράτης γὰρ διὰ τῆς β τῶν Ἀργολικῶν (fr. 1) οὕτως λέγει· οἱ δ' ἀμφὶ Αἰνείαν καὶ Σκαμάνδριον τὸν Ἕκτορος υἱὸν καὶ παλλακῆς τινος[3]) — ἦσαν

---

[1]) Ἀνδρομάχην ἰύζων codd.: em. Mein. l. s., cf. W. Schulze q. epic. 36 sq.: etiam Ἀνδρομάχην καλλίζωνον temptari posse annotat Kaibel. τε οἱ αυτῶ codd.: em. Kaibel. αὐτόν codd.: correxi.

[2]) [ ] a Tzetza qui Iliadis minoris Simiaeque versus inepte consuit interpolata; eidem etiam Leschae nomen debetur.

[3]) Correxi: ΠΑΛΑΙΤЄΡΟΝ codd., < > supplevi; de reliquis cfr. Schwartzii editionem.

δὲ αὐτῶι <δύο παῖδες>, οὗτος μὲν νόθος, <ἕτερος δὲ (sive Ἀστυάναξ δὲ) γνήσιος>, ὃς αὐτοῦ κατελήφθη καὶ ἀπόλλυται — οὗτοι δὲ διασώιζονται· Σκαμάνδριος γὰρ ἀφίκετο εἰς τὰ ἐν Ἴδηι, Αἰνείας δὲ καὶ Ἀσκάνιος ὁ υἱὸς καὶ Ἀγχίσης ὁ πατὴρ αὐτοῦ ἀλλὰ καὶ ἄλλοι τινὲς παῖδες αὐτοῦ καὶ Αἰγέστας οἰκεῖος ὢν τῶι Ἀγχίσηι εἰς Δάρδανον μετανίστανται.' οὐκ ἀτόπως οὖν νῦν Εὐριπίδης νόθους φησὶν αὐτὸν ἐσχηκέναι παῖδας.

Memorare placet hoc loco fr. XVIII augendum esse e Tzetzae Posthom. vv. 767—779: 13

Ἀλλὰ τὰ μὲν κατέλεξα κύκλα μεγάλων ἐνιαυτῶν.
Μῆνα δὲ ἤδη ἐρείω ἦμάρ τ' ἠδέ τε ὥρην
Οἰκτροτάτου λυκάβαντος ὃς ἄλγεα θήκατο Τροίηι.
Δωδεκάτη μὲν ἔην μηνὸς Θαργηλιῶνος,
. . . .
Νὺξ δ' ἄρ' ἔην μέσση, λαμπρὴ δ'ἐπέτελλε σελήνη,
. . . .
776 Καλλιστὼ δ' ἱέρεια κλειναῖς ἦν ἐν Ἀθήναις
Οἰκτροτάτου μεγάλου λυκάβαντος· Κείνηι ἐν ὥρηι,
Κείνηι νύκτι ὁ Λέσβιος Ἑλλάνικος (fr. 144) ἀείδει,
σὺν τῶι καὶ Δοῦρις (fr. 11) Τροίην ἑλέειν Παναχαιούς·

Affertur igitur et idem atque qui fr. Lysim. memoratur dies — XII Thargelionis — et versus Iliadis minoris; iam cum e scholiis quam quae aetatem tulerunt plenioribus saepius Tzetzes hauserit (ex. gr. fr. 11), veri est simillimum proponi ab eo quae aut pleniore ipso scholio ad Hec. 910 (= fr. Lys.) aut alio scholio e Nostis decerpto praebebantur. Quodsi recte haec Lysimacho vindicamus, e Tzetza efficiendum est non solum Diniae Argolicis (p. 16), sed etiam Hellanici Sacerdotibus Argivis eum diem Troiae fatalem proditum esse; quod vero ap. Tzetz. Καλλιστὼ fuisse ἱέρεια ἐν Ἀθήναις legitur, pro vestigio id habuerim ipsius Dinianae sententiae (Δημοφῶντος Ἀθήνησι βασιλεύοντος: p. 15, 16) a Tzetza cum Hellanicea commixtae.

de Laii uxoribus, Oedipodis et uxoribus (cf. fr. XI) et filiis: 14

schol. Phoen. 13 (aut *d* aut *o*): γαμεῖ δὲ Λάϊός μ': I. Ἐπιμενίδης (FHG IV 405) Εὐρύκλειαν τὴν Ἔκφαντός φησιν αὐτὸν γεγαμηκέναι, ἐξ ἧς εἶναι τὸν Οἰδίποδα· οἳ δὲ δύο τὸν Λάϊον γῆμαι γυναῖκας Εὐρύκλειαν καὶ Ἐπικάστην. II. καὶ τὸν Οἰδίποδα δέ φασιν Ἐπικάστην τε τὴν μητέρα γεγαμηκέναι καὶ Εὐρυγάνην.

III. ΛΙΓΥϹΤΙΟϹ (III 337) [1]) δέ φησιν ὡς ἐκ χρησμοῦ τοὺς παῖδας ἀκούσας ἀλληλοκτονήσειν ἐξέθηκε τὸν Πολυνείκην, Κάστωρ[1]) δὲ ἀμφότερους .ἐκτεθῆναι.

15 de Cadmi genere (cf. fr. VIII):

schol. Ap. Rhod. III 1186 *(Th?* certe idem haec adiecit qui ad vv. 1178/79 Theb. paradox. adhibuit): Κάδμος Ἀγηνορίδης: τοὺς περιλειφθέντας ἐν τῆι μάχηι σὺν Κάδμωι κατοικῆσαι ἐν Θήβαις φησί (sc. Ἀπολλώνιος). λέγει δὲ καὶ Ἑλλάνικος (fr. 2), ὅτι Κάδμος ἐξελὼν τοῦ ὄφεος τοὺς ὀδόντας ἔσπειρεν, ἐκ δὲ αὐτῶν πέντε ἄνδρες ἔφυσαν, Οὐδαῖος Χθόνιος Ὑπερήνωρ Ἐχίων Πέλωρ(ος)· καὶ ὁ μὲν Ἑλλάνικος (ibid.) ⟨ε⟩ μόνους[2]) φησὶ βλαστῆσαι, ὁ δὲ Ἀπολλώνιος πολλοὺς ἄλλους ἵδρυσεν-ἐλίποντο κτλ' = Ap. III 1186/87) καὶ ἀλλήλους πεφονευκέναι· = fr. Lys. VIII decurt.

ἄλλως. οἳ μὲν Ἀγήνορος λέγουσι τὸν Κάδμον, οἳ δὲ Φοίνικος. Φερεκύδης δὲ ἐν δ οὕτω φησίν (fr. 40)' Ἀγήνωρ δὲ ὁ Ποσειδῶνος γαμεῖ Δαμνὼ τὴν Βήλου. τῶν δὲ γίνεται Φοῖνιξ καὶ Ἰσαίη, ἣν ἴσχει Αἴγυπτος, καὶ Μελίη, ἣν ἴσχει Δαναός. ἔπειτεν ἴσχει Ἀγήνωρ Ἀργιόπην τὴν Νείλου τοῦ ποταμοῦ. τῶν δὲ γίνεται Κάδμος.'

16 de Herculis liberorum nece (cf. fr. X et pag. 20/21):

schol. Lyc. 38 *(Th)*: τεκνοραίστης: μετὰ τὴν τοῦ Κερβέρου ἀναγωγὴν ὁ Ἡρακλῆς εἰς Θήβας παραγενόμενος κατὰ Λύκον βασιλεύοντα τῆς πόλεως καὶ βιαζόμενον τὴν γυναῖκα αὐτοῦ Μεγάραν, τοῦτον κατατοξεύσας χόλωι τῆς Ἥρας εἰς μανίαν ἐτράπη καὶ τὴν Μεγάραν καὶ τοὺς τέσσαρας παῖδας ὄντας ἀνεῖλε Ὀνήτην Θηρίμαχον Δημοκόωντα (= Δηιοκόωντα) καὶ Κρεοντιάδην. cf. Eur. Herc. et Diniam (fr. Lys. X).

Cuius e scholii pleniore forma pendere videntur

1. Eustath. ad λ 269, qui ad schol. codd. TV (..ἡ ἱστ. π. Ἀσκληπιάδηι) addit: διὸ καὶ τεκνοραίστης κεῖται παρὰ Λυκο-

---

[1]) Ex ΛΙΓΥϹΤΙΟϹ effici posse aut Λυσίμαχος aut Λύσιππος (Ἀσεβῶν κατάλογος: schol. Ap. IV 1093) annotat Müllerus: Castorem, quem e codice A reposuit Schw., apparet diversum esse a Rhodio chronographo; idem, ni fallor, advocatur ex Alexandri Polyhistoris in Corinnam commentariis ap. Steph. Byz. Βοιωτία.

[2]) ε add. Kaibel. Utrum Πέλωρ rectius scribatur an Πέλωρος non assequor: Πέλωρ praebent scholl. Phoen. 670, Ap. Rhod. III 1179, Apollod. 85_{16}, Πέλωρος Paus. IX 5_3, Steph. Byz. Ἄζωτος. Praeterea Gigas quidam Pelor in schol. Π 174 (B), Pelorus ap. Hyg. 10_8 Schm. audit, Pelorus vocatur Thessalus ille, a quo Iovem Pelorium nominatum esse apud Athenaeum XIV 639 e Bato narrat.

φρονι (= vs. 38). ὡς δέ τινές φασι καὶ τὴν Μεγάραν διεχειρίσατο. μέλλων δέ φασι καὶ τὸν ἀδελφὸν Ἰφικλέα διαθέσθαι τὰ ὅμοια ἐκωλύθη φθάσαντος ἐκείνου κατὰ φύσιν θανεῖν.

2. Tzetz. ad Lyc. v. eundem, (potest Tzetz. etiam e pleniore ad Pind. Isthm. IV 104 scholio (= fr. X) hausisse): (ὁ δὲ Πίνδαρος ὀκτὼ λέγει παῖδας Μεγάρας καὶ Ἡρακλέος τοὺς ἀναιρεθέντας αὐτῶι.) Ἕτεροι δὲ καὶ δύο υἱοὺς Ἰφικλέους τοῦ ἀδελφοῦ σὺν τοῖς τῆς Μεγάρας παισὶ λέγουσιν ἀνελεῖν.

3. schol. Stat. Theb. IV 570: *Tristem nosco Lycum: Hic est Lycus qui Megaram filiam suam Herculi dedit uxorem et ob hoc a Junone in furorem versus est et filios Herculis ex Megara susceptos Oxea et Leontiadem* [1]) *occidit.*

de Laocoonte (cf fr. XII): 17

schol. Serv. Dan. ad Aen. II 201 *(Th): ..... sane Bacchylides* (fr. 32) *de Laocoonte et uxore eius vel de serpentibus a Calydnis insulis venientibus atque in homines conversis dicit.*

Euphorionis testimonium quod ostentatur scholio Serviano vs. 201 nihil facere ad Laocoontem Robertus Phil. Unt. V 205 sq. acute demonstravit.

de Oedipodis sepulcro (cf. fr. II): 18

schol. Ψ 679 T *(As):* Εὐρύαλος...., ὅς ποτε Θήβασδ' ἦλθε δεδουπότος Οἰδιπόδαο ἐς τάφον: ὅτι βασιλεύοντα ἐν Θήβαις φησὶν ἀπολέσθαι, οὐχ ὡς οἱ νεώτεροι· καὶ Ἡσίοδος (fr. 62) δέ φησιν ἐν Θήβαις αὐτοῦ ἀποθανόντος Ἀργείαν τὴν Ἀδράστου σὺν ἄλλοις ἐλθεῖν ἐπὶ τὴν κηδείαν τοῦ Οἰδίποδος [2]).

de Astyanacte Scamandriove (cf. fr. VII): 19

schol. Ω 735 T *(As):* ῥίψει χειρὸς ἑλών: ἢ στοχάζεται, ἢ ὡς ἔθους ὄντος τοὺς μὴ δυναμένους δουλεύειν παῖδας ῥίπτεσθαι. οἱ δὲ νεώτεροί (Dionysius Chalcid. alii) φασιν αὐτὸν οἰκιστὴν ὕστερον γεγενῆσθαι Τροίας καὶ ἄλλων πόλεων [3]).

---

[1]) schol. X 896: *Oxea et Creontiaden;* utroque loco restituerim *Toxea* (cf. Τοξόκλειτος ap. Bat. in fr. Lys.) *et Creontiaden.*

[2]) Memorandum est schol. ad Phoen. 1707: ἱππείου θεοῦ: περὶ τοῦ ἐν τῶι ἱππείωι Κολωνῶι τετάφθαι τὸν Οἰδίπουν ἐν ἄλλοις ἐξειργάσμεθα ἀκριβῶς. Cuius disputationis quamquam nullum iam exstat vestigium, tamen eam e Thebanis paradoxis petitam esse a grammatico (aut *d* aut *o*) suspicandum est.

[3]) Prior interpretatio — στοχάζεται — simillima est Lysanianae schol. Andr. 10 (fr. VII) servatae εἰκαζόμενον ὡσεὶ κτλ. —

Hectoris filius, qui urbe expugnata de muro fertur praecipitatus esse, cum duobus nominibus utatur Z 401 (atque eo quidem solo loco,

Undeviginti ea doctorum laterculorum frusta vinculis cum certis Lysimachi fragmentis conexa artissimis primum grammaticos capite altero enumeratos evolvisse Nostos atque Thebana Paradoxa confirmant si oportet etiam certius[1]). Deinde operum Lysimacheorum fines circuitusque quales quantique fuerint ipsis fragmentis minime satis prodi exploratum est. Saepius enim eis scholiis — sive uno eodemque sive duobus (pluribusve) ex uno fonte certe aperteque repetitis — comprehensae tenentur materiae duae (pluresve), quae ut inter se prorsus cohaerent, ita altera proxime altera minus prope accedit ad ipsum Lysimachi fragmentum aliquod; atqui unius-

cf. X 506): τόν ῥ᾽ Ἕκτωρ καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι Ἀστυάνακτ᾽· οἶος γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ, apud posteriores uno contentus est nomine Astyanactis; ipsos locos enumerare longum est. Alterum nomen ei plerumque invenitur inditum qui post Troiam deletam in patria regnasse narratur: sic Xanthus ap. Lysimachum (fr. VII), Hellanicus (fr. 127 = Dion. Hal. I 47_{5}), Dionysius Chalcid. et ap. Lysimachum l. s. et ap. Demetrium Scepsium (fr. 35 Gaede), Cono (narr. 46 sive e Cephalone Gergithio (? v. i.) sive ex Hegesippo hausta: Gaede p. 65, Höfer Konon p. 59), Nicolaus Damascenus (fr. 29 = Steph. Byz. Ἀσκανία), Dio Chrysostomus or. XI p. 185 M; (idem Dio in eadem oratione 193 M interemptum nominat Astyanactem: itaque cum de Astyanacte compendium fabulare ipse excerpsisse videatur Dio (cf. Apollod. ep. Vatic. p. 69_{21} W.), de Scamandrio Dionis auctor (cf. Wil. comm. gr. III) vel eos quos nominavimus vel eorum asseclam aliquem sequitur); denique utrumque filium accurate distinxisse videtur Anaxicrates (fr. Lys. 12). Quare statuendum est aut a posterioribus e filio apud Homerum binomine duos effectos esse et fatis et nomine diversos, aut — id quod probabilius est — duos filios antiqua fabulari memoria traditos a Z carminis poeta in unum esse coniunctos. Astyanactem qui nominaverunt superstitem filium duo, nihil ei contra testium gravissimorum consensum valent; alter videtur Hegesianax ille esse qui Cephalonis nomen inscripsit operi suo (infr. fr. 54), alter est Abas, memoratus a scholiasta ad Aen. Verg. IX 262: *quidam ab Abante qui Troica scripsit relatum ferunt post discessum a Troia Graecorum Astyanacti ibi datum regnum* et q. s.: qui cum in eis quae eodem loco de Aeneae Antenorisque inimicitiis narrat unum habeat socium Dictyn (V_{17}), ne ipse quidem multi aestimandus videtur.

Quodsi grammatici (et Euripidis obtrectator et eius defensor et grammaticus Aristarcheus) testimonia, quae ad diversos spectantia sine dubio distinxit Lysimachus, confuderunt, eos copiis doctis aut neglegenter — et perducebantur quidem celeberrimo Homeri loco — aut improbe usos esse intellegitur. Idem factum videtur fr. Lys. 10, 12, 88: quibus locis Didymus praeteriit testimonia, quibus Euripides et defendi poterat et defensus est, eaque a Lysimacho indicata (Persidis, Anaxicratis, Nicandri).

[1]) Non occurrunt inter ea frusta ὑπ*SOC*, *qh*.

cuiusque scholii alteram quidem partem tribuere Lysimacho, sed alteram a fragmento alienam (ut videtur) vindicare aut ipsi grammatico scholii auctori aut thesauro alii cuipiam (si quis se offerat) temerarium est: ergo scholia ea tota integraque desumpta esse e Lysimachi Alexandrini copiis efficitur.

Itaque ut singula enumeremus, tractavisse putandus est Lysimachus Neoptolemi non solum nuptias cum Hermiona initas, sed etiam mortem — vel ipsa fabularis historiae ratione cum eis coniunctam (fr. 2); Achillis non solum matrem, sed etiam pueritiam et educationem educatoremque (fr. 3); Ulixis non solum genus, sed etiam locum natalem et nomen (fr. 4, de Oedipodis nomine cfr. fr. XI); Sphingis non solum eam fabulam qua Laii filia ferebatur (fr. XI), sed etiam alias, nec non oraculi eiusque λύσεως verba (fr. 6); praeter Pelei Thetidisque nuptias etiam Achillis arma (fr. 8: Phylarch.); Oedipodis non solum patrem uxoresque, sed etiam filios (fr. 14); Cadmi non solum ad Thebanos adventum, sed etiam genus (fr. 15); denique fr. 11, 12 Aeneae quoniam mentio fit, confirmari videtur Aeneae quoque fabulas a Lysimacho docte diligenterque esse expositas.

Iam vero ne eas materias solas quasi accrescere iubeamus ad certa Lysimachi fragmenta, procul habeamus alias et illis cognatas fere gemellasque et ab eisdem grammaticis eadem doctrina illustratas, ratio dissuadet: ergo iam latius quam ipsa fragmenta monstrant promovendi sunt utriusque operis termini.

Primum autem ea proponenda sunt scholia, quibus quae tractantur fabulae cohaerent cum eis in quibus ipsa fragmenta (et I—XVIII et 1—19) versantur.

II.

Atque ad Νόστους quidem — iam enim ad ordinem ipsis argumentis indicatum singula frusta digerere licebit — revocanda sunt haece:

de Achillis hasta: 20

schol. Pind. Nem. VI 85 *(Di)*: οὐκ ἐκ παραδρομῆς δὲ ζάκοτον εἶπε (ὁ Πίνδαρος) τὸ δόρυ τοῦ Ἀχιλλέως, ... ἀλλ' ὅτι ἰδιώτερον παρὰ τὰ ἄλλα κατεσκεύαστο. δίκρουν γάρ, ὥστε δύο ἀκμὰς ἔχειν, καὶ μιᾶι βολῆι ὥστε δισσὰ τὰ τραύματα ἀπεργάζεσθαι. καὶ Αἰσχύλος ἐν Νηρῆισιν (fr. 152)· „Κάμακος εἶσι, κάμακος γλώσσημα

διπλάσιον', καὶ Σοφοκλῆς ἐν Ἀχιλλέως ἐρασταῖς (fr. 156)· Ἡ δορὸς διχόστομον πλᾶκτρον· δίπτυχοι γὰρ ὀδύναι μιν ἤρικον Ἀχιλληίου δόρατος.' μετάγουσι δὲ τὴν ἱστορίαν ἀπὸ τῆς Λέσχου μικρᾶς Ἰλιάδος λέγοντος οὕτως (fr. 5)· Ἀμφὶ δὲ πόρκης χρύσεος ἀστράπτει καὶ ἐπ' αὐτῶι δίκροος αἰχμή.'

schol. Π 142 T *(As)*: ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεύς; .... οἱ δὲ πλάττονται λέγοντες ὡς Πηλεὺς μὲν παρὰ Χείρωνος ἔμαθε τὴν χρῆσιν αὐτῆς, Ἀχιλλεὺς δὲ παρὰ Πηλέως, ὃ δὲ οὐδένα ἐδίδαξεν. καὶ ὁ τῆς μικρᾶς Ἰλιάδος ποιητής· Ἀμφὶ δὲ πόρκης κτλ'. (cf. schol. cod. A ad v. 140: .... ἡ ἱστ. π. τῶι τὰ Κύπρια ποιήσαντι.)

21 de Achille ad Troadis oram appellente:

schol. Lyc. 246 *(Th)*: Κρηναῖον· φασὶ γὰρ ὅτι πηδήσαντος τοῦ Ἀχιλλέως ἐκ τῆς νεὼς πηγὴ ἀνεδόθη, ὥς φησι καὶ Ἀντίμαχος (fr. 59)·

ῥίμφα δ' ἐπ' ἠπείροιο μελαίνης ὑψόσ' ἀερθεὶς
Πηλείδης [δ'] ἀνόρουσεν ἐλαφρῶς ἠύτε κίρκος,
τοῦ δ' ἔμπροσθε ποδῶν κρήνη γένετ' ἀενάουσα.

schol. Andr. 1139 (aut *d* aut *o*): τὸ Τρωικὸν πήδημα: ὁποῖον ἐν τῆι Τροίαι ἐπήδησεν ὁ Ἀχιλλεύς. οἱ γὰρ συντεταχότες τὰ Τρωικὰ λέγουσιν ὡς τόπος ἐστὶν ἐν Τροίαι καλούμενος Ἀχιλλέως πήδημα, ὅπερ ἀπὸ τῆς νεὼς ἐπήδησεν. οὕτως δὲ, φησὶν, (M: φασὶν NOA) βίαι ἥλατο ὡς καὶ ὕδωρ ἀναδοθῆναι.

Patet sub fine ad φησὶν supplendum esse aut scriptoris (fortasse qui Τρωικὰ scripsit alicuius velut Hellanici Palaephati, Cephalonis; quorum nomina ante excidisse crediderim) aut ipsius Antimachi nomen.

22 de puella Briseïde:

schol. Π 57 T *(As)*: κούρην, ἣν ἄρα μοι γέρας ἔξελον υἷες Ἀχαιῶν, δουρὶ δ' ἐμῶι κτεάτισσα πόλιν εὐτείχεα πέρσας: τὴν Πήδασον οἱ τῶν Κυπρίων ποιηταὶ (fr. 15), αὐτὸς δὲ Λυρνησόν (B 690): cui scholio subiungendum est

schol. T 291 sq. *(Pp?)* [1]: Ἄνδρα μὲν ..... εἶδον πρὸ πόλιος δεδαϊγμένον ὀξέι χαλκῶι, τρεῖς τε κασιγνήτους

[1]) *qh* Schwartz. l. s. 421, tradita scriptura confisus: ..... φιλάνδρου δὲ γυναικὸς τὸ προθεῖναι τῆς τῶν ἀδελφῶν τὴν τοῦ ἀνδρὸς ἀπώλειαν· τοιαύτη δὲ καὶ Ἀνδρομάχη (Z 429), κατὰ γὰρ Μνασέαν κτλ: at placet summopere Maassii scriptura (δὲ pro γὰρ): Mnaseae enim sententia ad ea quae antecedunt annexa cum satis absurdum reddat totum scholium — id quod Schwartzius ipse concedit — eadem ab eis resecta optime se habet; tum enim annotatur fabula ab Homero prorsus aliena.

(verba sunt Briseidis): κατὰ δὲ Μνασέαν (fr. 29) Βρισέως υἱὸς ἦν Ἠετίων. Mnaseas igitur de eadem Achillis expeditione (sc. contra Eetionem Thebae Hypoplaciae regem facta) ut loquerentur et Andromacha (Z 414 sq.) et Briseis, Eetionem pro Brisei filio Briseidisque fratre venditavit.

schol. A 392 A (aut *Pp* aut *As*): κούρην Βρισῆος: ἔοικε πατρωνυμικῶς τὰ ὀνόματα αὐτῶν σχηματίζειν ὁ ποιητὴς καὶ οὐ κυρίως· ὡς γὰρ ἄλλοι ἀρχαῖοι ἱστοροῦσιν ἡ μὲν (sc. Χρυσηίς: cf. Tzetz. ad Lyc. 183 ex Et. M.) Ἀστυνόμη ἐκαλεῖτο, ἡ δὲ Ἱπποδάμεια.

de Chryseide: 23

schol. A 366 Eust. *(qh)*: ἱστοροῦσι δέ τινες ὅτι ἐκ τῶν Ὑποπλακίων Θηβῶν ἡ Χρυσηὶς ἐλήφθη οὔτε καταφυγοῦσα ἐκεῖ οὔτ' ἐπὶ θυσίαν Ἀρτεμίδος ἐλθοῦσα ὡς ὁ τὰ Κύπρια γράψας (fr. 16) ἔφη, ἀλλὰ πολῖτις ἤτοι συμπολῖτις Ἀνδρομάχης οὖσα: (cf. de hoc schol. Schw. l. s. 420).

de Cycno Tenneque ab Achille necatis: 24

schol. Pind. Ol. II 147 *(Di)*: Κύκνον τε θανάτωι πόρε: παρέδωκε, τὸν Ποσειδῶνος καὶ Σκαμανδροδίκης, οἱ δὲ Ἁρπάλης· ἄλλοι δὲ Καλυκίαν φασί. Κύκνοι δὲ δύο, ὁ μὲν Ἄρεος, ὁ δὲ Ποσειδῶνος.

schol. Theoc. XVI 49 *(Th)*: Κύκνον ἔγνω: Κύκνον λέγει τὸν Ποσειδῶνος καὶ Καλύκης, τὸν ἀνῃρημένον ὑπὸ Ἀχιλλέως· λευκὸς γὰρ ἦν τὴν χροιὰν ἐκ γενετῆς, ὥς φησιν Ἑλλάνικος (fr. 31). (διὸ καὶ θῆλυν αὐτὸν εἶπεν ὁ Θεόκριτος διὰ τὴν χροιάν.) Ἡσίοδος (fr. 146) δέ φησιν αὐτὸν τὴν κεφαλὴν ἔχειν λευκήν· διὸ καὶ ταύτης τῆς κλήσεως (sc. κύκνος) ἔτυχεν.

schol. Tzetz. ad Lyc. 233 (498/99 M.): . . . . . ἀλλὰ κατὰ τὴν κεφαλὴν πληγεὶς ὁ Κύκνος ἀνῃρέθη. Φασὶ γὰρ ὅτι ἄτρωτος ἦν τὸ λοιπὸν σῶμα πλὴν τῆς κεφαλῆς.

schol. Lyc. 241 *(Th)*: ὁ δὲ Τέννης φύσει μὲν ἦν Ἀπόλλωνος υἱὸς θέσει δὲ Κύκνου.

de Penthesilea atque de Thersitis nece: 25

schol. Lyc. 997 *(Th)*: ἧς ἐκπνεούσης: μετὰ θάνατον Πενθεσιλείας ἠράσθη αὐτῆς ὁ Ἀχιλλεύς· ὁ δὲ Θερσίτης λαβὼν ἐξώρυξε τοὺς ὀφθαλμοὺς αὐτῆς. ὁ δὲ νεανίας ὀργισθεὶς ἀνεῖλεν αὐτὸν πλήξας κονδύλωι· οἱ δέ, τῶι δόρατι (cf. Procl. Aethiop. argum. pag. 33 Ki.).

schol. Soph. Phil. 445 *(Di)*: οὐκ εἶδον αὐτὸν (sc. τὸν Θερσίτην), ᾐσθόμην δ' ἔτ' ὄντα νιν: τοῦτο παρ' ἱστορίαν. λέγεται γὰρ ὑπὸ Ἀχιλλέως ἀνῃρῆσθαι καθ' ὃν χρόνον καὶ τὴν Πενθεσίλειαν

ἀνεῖλεν· φονευθείσης γὰρ τῆς Πενθεσιλείας ὑπὸ Ἀχιλλέως ὁ Θερσίτης δόρατι ἔπληξε τὸν ὀφθαλμὸν αὐτῆς. διὸ ὀργισθεὶς ὁ Ἀχιλλεὺς κονδύλοις αὐτὸν ἀνεῖλεν. ἐλέγετο γὰρ ὅτι καὶ μετὰ θάνατον ἐρασθεὶς αὐτῆς συνελήλυθεν[1]).

26 de Memnone:

schol. Pind. Ol. II 148 *(Di):* Ἀοῦς τε παῖδ' Αἰθίοπα: τὸν Μέμνονα τὸν Τιθωνοῦ τοῦ Λαομέδοντος καὶ Ἡμέρας. ταῦτα δὲ λέγουσιν οἱ τὰ μεθ' Ὅμηρον γράψαντες οὕτω· Τιθωνῶι γίνονται ἐξ Ἡμέρας παῖδες δύο, Μέμνων καὶ Ἠμαθίων· καὶ Μέμνων μὲν ἀνῃρέθη ὑπ' Ἀχιλλέως, (Ἠμαθίων δὲ ὑπὸ Ἡρακλέους κατὰ τὴν ἀπέλασιν τῶν Γηρυόνου βοῶν). Quod scholium si quidem est Didymeum, posteriorum scholiastarum opera miserrime decurtatum ad nos pervenit. Memoro ἱστορίαν quoque schol. Γ 151 (AB) servatam = Hellanic. fr. 142.

27 de Troilo ab Achille necato:

schol. Ω 257 *(As):* ἱππιοχάρμην: ἐντεῦθεν Σοφοκλῆς ἐν Τρωίλωι (N. 266) φησὶν αὐτὸν λοχηθῆναι ὑπὸ Ἀχιλλέως ἵππους γυμνάζοντα παρὰ τὸ Θυμβραῖον καὶ ἀποθανεῖν. . . . .

28 de Achille immortali:

schol. Ap. IV 814 *(Th):* χρειώ μιν κούρης: Ἀναξαγόρας φησὶν ὅτι ταῖς ἀληθείαις Ἀχιλλέα ὡς θεὸν τετιμήκασιν οἱ περὶ τὴν Λακωνικὴν οἰκοῦντες. ἔνιοι δέ φασιν ὅτι συμπαθήσαντες οἱ θεοὶ τῆι Θέτιδι ἀπηθανάτισαν αὐτόν· ὅτι δὲ Ἀχιλλεὺς εἰς τὸ

---

[1]) De Penthesilea quae Tzetzes PHom 14 sq. profert

Ἑλλάνικος (fr. 146) Λυσίας τε (δὲ trad.: corr. Kaibel) καὶ ἄλλοι ἄνδρες ἀγαυοὶ
φὰν (φάσ' ? K.), ἕνεκα σφετέρης ἀρετῆς ἐπιήλυθε Τροίηι
κῦδος ἀεξήσουσα, ὅπως κε γάμοισι μιγείη·
ταῖς γὰρ ἀπαίσιόν ἐστι παρ' ἀνδράσι βήμεναι εὐνῆι,
εἰ μή κ' ἐν (μέν trad.: corr. K.) πολέμοισι ἀριστεύσωσιν ἐπ' ἄνδρας.
. . . .
τοὶ δ' ὑπὸ δώρων Ἑκτορέων ἐρέουσιν ἰοῦσαν
πυθομένην μόρον Ἕκτορος αἶψ' ἐθέλειν ὑποείκειν·
τὴν δ' ὁ γέρων Πρίαμος κατέρυξεν κτλ.,

si ex antiquo scholio defuratum eum esse credibile est, quoscunque per rivulos ad Nostos redeunt. — Lysiae vero mentio ista, quae neque in orationibus servatis redit neque aliunde comprobari potest, videtur e corruptela mutationeve esse orta (Λυσίμαχος? Hoc ad nomen quod propius quam Λυσίας accedit, id ipso versu flagitari monet Kaibel: Λῦσις, Lysimachi deminutivum; at nescio an υ correptum esse a Tzetza credere liceat, qui supra ausus est Ἑλλᾰνῐκος, vs. 778 (= Lys. fr. 13) Ἑλλανικος).

Ἠλύσιον πεδίον παραγενόμενος ἔγημε Μήδειαν πρῶτος Ἴβυκος (fr. 37) εἴρηκε, μεθ' ὃν Σιμωνίδης (fr. 213).

ad Lyc. 798 *(Th)*: Ἀχιλλέως δάμαρτος: φασὶν ὅτι ὁ Ἀχιλλεὺς μετὰ θάνατον ἔγημε Μήδειαν τὴν Αἰήτου παῖδα.

de Ulixis armis vestituque: 29

schol. Lyc. 658 *(Th)*: δελφινόσημον: Στησίχορός (fr. 70) φησιν Ὀδυσσέα ἐπὶ τῆς ἀσπίδος φέρειν δελφῖνος τύπον· καὶ Εὐφορίων (an. Al. 142) τούτωι συμφθέγγεται.

schol. K 265 *(As)*: μέσσηι δ' ἐνὶ (sc. τῆι κυνέηι) πῖλος ἀρήρει: Ἀπολλόδωρος ὁ σκιαγράφος ἐντεῦθεν πρῶτος ἔγραψε πῖλον Ὀδυσσεῖ .... Lysimachum mythographum accuratissimum pictorum quoque artificumque, ubi e re erat, rationem habuisse facile credemus.

de Ulixis rebus in bello Troiano gestis: 30

schol. δ 343 *(As)*: αἲ γάρ, ... τοῖος ἐών, οἷός ποτ' ἐυκτιμένηι ἐνὶ Λέσβωι ἐξ ἔριδος Φιλομηλείδηι ἐπάλαισεν ἀναστάς, ... τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς: (τινὲς τὸν Πάτροκλον ἤκουσαν· Φιλομήλας γὰρ ἦν υἱός· οὔτε δὲ ἀπὸ μητρὸς τὸ γένος Ὅμηρος σχηματίζει κτλ. . . .) ἀλλ' οὗτος βασιλεὺς ὢν Λέσβου τοὺς παριόντας εἰς πάλην ἐκάλει, καὶ τοὺς Ἕλληνας δὲ προσορμισθέντας· ὃν Ὀδυσσεὺς καὶ Διομήδης δολοφονήσαντες τὸν τάφον αὐτοῦ καταγώγιον ξένων ἐποίησαν, ὥς Ἑλλάνικος φησιν (fr. om.).

de Ulixis erroribus: 31

schol. Lyc. 809 *(Th)*: αὐτὸς πρὸς Ἅιδην: Θεόπομπός (fr. 114. an comicus? K. I 742 sq.) φησιν ὅτι παραγενόμενος ὁ Ὀδυσσεὺς καὶ τὰ περὶ τὴν Πηνελόπην ἐγνωκὼς ἀπῆιρεν εἰς Τυρσηνίαν καὶ ἐλθὼν ὤικησε τὴν Γορτυναίαν, ἔνθα καὶ τελευτᾶι.

scholia ad Odysseam haece *(Pp)*:

schol. κ 6: ἓξ μὲν θυγατέρες: Αἴολος Τηλεπάτραν τὴν Λαιστρύγονος γήμας ἐγέννησε θυγατέρας ἓξ καὶ ταύταις ἴσους υἱούς. εἰσὶ δὲ τοῖς μὲν ἄρρεσιν ὀνόματα Ἰόκαστος Ξοῦθος Φάλακρος Χρύσιππος Φερήμων Ἀνδροκλῆς, ταῖς δὲ παρθένοις Ἴφη Αἰόλη Περίβοια Δία Ἀστυκράτεια Ἡφαιστία. ὁ δὲ Εὐριπίδης (N. 365) ἑτέρως ἱστορεῖ (cf. schol. Aristoph. Nub. 1371).

schol. μ 217: κυβερνῆθ' (sc. Ulixis): τοῦτον Μάνδρωνά τινες λέγουσιν.

schol. μ 257: οἱ ἀπολόμενοι ὑπὸ τῆς Σκύλλης Στήσιος Ὀρμένιος Ἄγχιμος Ὄρνυτος Σίνωπος Ἀμφίνομος· οὕτω Φερεκύδης (fr. om.).

schol. μ 301: ἢ βοῦν ἠέ τι μῆλον: Νυμφόδωρος ὁ τὴν Σικελίαν περιηγησάμενος (fr. 5) καὶ Πολύαινος (?) καὶ Πανύασις (fr. 8) φύλακα τῶν Ἡλίου βοῶν Φάλακρόν φησι γενέσ- θαι, ὃν Φιλοστέφανος (fr. 15) Αἰολιδοῦν εἶναί φησι καὶ ἔχειν ἐν Μύλαις ἡρῶιον.

schol. ε 441: ἀλλ' ὅτε δὴ ποταμοῖο: Σώσωνά φασι τοῦτον λέγεσθαι τὸν ποταμόν (prope quem fluvium Ulixes ad Scheriam appellit).

32 De Penelopa eiusque familia:

schol. δ 797 HQP *(Di)*: ἰφθίμηι κούρηι: Ἰκαρίου καὶ Ἀστεροδίας τῆς Εὐρυπύλου τοῦ Τελέστορος γίνονται παῖδες Ἀμάσιχος[1]), Φαληρεὺς Θόων Φερεμμελίας Περίλαος, θυγατέρες δὲ Πηνελόπη καὶ Μήδη (an Μέδη? v. i.) ἢ Ὑψιπύλη ἢ Λαοδάμεια[1]). Δίδυμος δὲ (in commentario ad Odyss.: Schm 183) Ἀμειράκην φησὶ προσαγορεύεσθαι τὴν Πηνελόπην ἢ Ἀρνακίαν. Ναυπλίου δὲ ῥίψαντος αὐτὴν εἰς θάλασσαν διὰ ποινὴν Παλαμήδους ὑπὸ πηνελόπων αὐτὴν σωθεῖσαν οὕτως ὀνομασθῆναι. ἐν δὲ ἐπιμερισμῶι τοῦ ˛μῆνιν ἄειδε θεά' Πηνελόπην αὐτήν φησι λελέχθαι παρὰ τὸ πένεσθαι τὸ λῶπος.

ibid. PM etc. (aut *As* aut *Aa*): (ἀμφιβάλλει Ἀρίσταρχος πότερον ἐπίθετον τὸ ἰφθίμη ἢ κύριον P. τὸ Ἰφθίμηι ὄνομα κύριον, ὅτι γενναία ἦν. λέγει δὲ τὴν ἀδελφὴν τῆς Πηνελόπης. E οὕτως ἐκαλεῖτο κυρίως ἡ ἀδελφὴ τῆς Πηνελόπης.) Ἄσιος (fr. 10) δέ φησι· ˛Κοῦραί τ' Ἰκαρίοιο, Μέδη καὶ Πηνελόπεια', τινὲς δὲ Ὑψιπύλην λέγουσι (M.). Ἄνδρων δὲ (fr. 7) Ὑψιπύλην λέγει. M. S. Barnes.

schol. ο 16 (*Pp* ut videtur): ἤδη γάρ ῥα πατήρ τε: Ἰκάριος ὁ Οἰβάλου γαμεῖ Δωροδόκην τὴν Ὀρτιλόχου ἢ κατὰ Φερεκύδην (fr. 90) Ἀστεροδίαν τὴν Εὐρυπύλου τοῦ Τελέστορος· πυθόμενος δὲ Λαέρτης περὶ τῆς Πηνελόπης ὅτι καὶ τῶι κάλλει καὶ ταῖς φρεσὶ διαφέρει πασῶν τῶν καθ' ἑαυτὴν γυναικῶν ἄγεται αὐτὴν τῶι παιδὶ Ὀδυσσεῖ πρὸς γάμον. ἡ τοσαύτην εἶχεν ἀρετὴν ὥστε καὶ τὴν Ἑλένην τὴν ἐκ Διὸς οὖσαν τῶι τῆς ἀρετῆς ὑπερβάλλειν κάλλει. (ἡ ἱστορία παρὰ Φιλοστεφάνωι (fr. 38) καὶ Φερεκύδηι).

33 Cum Ulixis fabulis coniungi poterant de Eumaeo testimonia, ut de Chirone (fr. 3) cum Achillis: unde superest

schol. ο 417 *(Pp)*: γυνὴ Φοίνισσ' (quae Eumaeum rapuit): ὄνομα δὲ αὐτῆι Δαήνη.

---

[1]) E schol. ad α 275 Dindorf recte efficit Δαμάσιχος, utrum indidem Λαοδίκη huc transferendum sit an Λαοδάμεια hinc illuc, dubium est; de Arnacia cf. Tzetz. ad Lyc. 792, Eust. p. 1422 ₈. Didymum vero eas fabellas ipsum finxisse cum veri dissimillimum est, exciderunt testium ab eo e Nostis excitatorum nomina.

de Helena rapta: 34a

schol. Lycophr. 513 *(Th)*: διάρπαγον δὲ αὐτὴν εἶπεν, ἐπειδὴ ὑπὸ Θησέως καὶ Ἀλεξάνδρου ἡρπάγη· φησὶ δὲ ὁ Ἑλλάνικος (fr. 74) ἑπταέτη οὖσαν τὴν Ἑλένην ἁρπαγῆναι ὑπὸ Θησέως. Δοῦρις δὲ (fr. 3) λέγει ἀποδοθῆναι αὐτὴν τετοκυῖαν τὴν Ἰφιγένειαν. Conferendus Serv. Dan. ad Aen. II 601.

Addere licet huic loco

de Helenae procis: 34b

schol. N 516 *(qh)*: τοῦ δὲ (= Ἰδομενέως) ἀκόντισε . . . Δηίφοβος: ὡς ἀντεραστὴς Ἑλένης, ὡς μαρτυρεῖ Ἴβυκος (fr. 34b) καὶ Σιμωνίδης (fr. 208).

de Menelai Helenaeque reditu: 35

schol. ad Androm. 630 *(Di)*: προδότιν αἰκάλλων κύνα: ἡττηθεὶς τοῖς ἀφροδισίοις. ἄμεινον ᾠκονόμηται τοῖς περὶ Ἴβυκον (fr. 35). εἰς γὰρ Ἀφροδίτης ναὸν καταφεύγει ἡ Ἑλένη κἀκεῖθεν διαλέγεται τῶι Μενελάωι, ὁ δ' ὑπ' ἔρωτος ἀφίησι τὸ ξίφος (MNO). τὰ παραπλήσια καὶ Κλεομένης ὁ Ῥηγῖνος[1]) (cf. PLG III 564) ἐν διθυράμβωι φησίν (M).

scholia ad Aristoph. Lysist. 155: ὅ γ' ὦν Μενέλαος τᾶς Ἑλένας τὰ μᾶλά πα γυμνᾶς παραϝιδὼν ἐξέβαλ' οἰῶ τὸ ξίφος: ἡ ἱστορία παρὰ Ἰβύκωι (v. s.). τὰ δὲ αὐτὰ καὶ Λέσχης ὁ Πυρραῖος ἐν τῆι μικρᾶι Ἰλιάδι (fr. 16) καὶ Εὐριπίδης (Andr. 628)· ‚ἀλλ' ὡς εἰσεῖδες μαστόν, ἐκβαλὼν ξίφος φίλημ' ἐδέξω',

Vesp. 714: καὶ τὸ ξίφος οὐ δύναμαι κατέχειν ἀλλ' ἤδη μαλθακός εἰμι: ὥσπερ ὁ Μενέλαος. τοῦτον γάρ φασιν ὁρμήσαντα ἐπὶ τὴν Ἑλένην ἀποβαλεῖν τὸ ξίφος· ἡ δὲ ἱστορία παρ' Ἰβύκωι καὶ Εὐριπίδηι. Quae scholia per Symmachum e *Didymo* huc delata videntur: quod vero Ibyci narratio ab Euripidea non distinguitur, nihil valet.

schol. δ 355 *(As)*: Ἀντικλείδης (fr. 12) ἱστορεῖ, ὅτι ποθοῦσα Μενέλαον Ἑλένη λάθραι ἔξεισι ἐκ τῆς πόλεως καὶ Καρικὸν εὑροῦσα πλοῖον παρακαλεῖ τὸν ναύκληρον, ὃς ἐκαλεῖτο Φάρος, εἰς Λακεδαίμονα αὐτὴν ἀποκαταστῆσαι· χειμασθέντες δὲ ἧκον εἰς Αἴγυπτον, καὶ ἐνθάδε τῆς νεὼς ἀποβάντα τὸν Φάρον ὄφις ἀναιρεῖ. ἡ δὲ θάψασα αὐτὸν οὕτως ὠνόμασε τὴν νῆσον (codd. EHQVind., in B eadem decurtata), cf. Hecataei fr. 287.

---

[1]) Haec efficio ex eis quae Wilamowitzius (de Rhesi schol. 5) legisse sibi videtur: ‚καὶ ΚΑΘΟ . . . ЄΤΡΟϹ [‚haec praeter accentum et Ϲ non plane certa': Wilamowitzii sunt verba] κτλ. Schwartzii scripturam ab ipso Wilamowitzio (ad schol. Eur. II 293) satis refutatam censeo.

. . . . . τινές φασιν ὅτι φάρους τῆς Ἑλένης ἐκπεσόντος οὕτως ὠνομάσθη — HQ.

ibid. 228: Θῶνος παράκοιτις: ἀπὸ τοῦ Θόωνος. τὸν αὐτὸν δὲ λέγουσιν εἶναι τὸν Θῶνιν. οὗτός ἐστιν εὑρετὴς τῆς ἰατρικῆς παρ' Αἰγυπτίοις, οὗτινος καὶ φερώνυμός ἐστιν ὁ πρῶτος μήν (QTVind). ὁ Θῶνος (an Θῶν?) βασιλεὺς ἦν τοῦ Κανώβου καὶ τοῦ Ἡρακλείου στόματος, ὃς πρὶν μὲν ἰδεῖν Ἑλένην ἐφιλοτιμεῖτο Μενέλαον, ἰδὼν δὲ αὐτὴν ἐπεχείρει βιάζεσθαι· ὃ γνοὺς Μενέλαος ἀναιρεῖ αὐτόν· ὅθεν ἡ πόλις Θῶνις ὠνόμασται, ὡς ἱστορεῖ Ἑλλάνικος (IV 632) (QVind).

Item e Lysimacho dixerim pendere *As*

ibid. ad Πολύδαμνα: . . . . βέλτιον δὲ ὄνομα κύριον αὐτὸ δέχεσθαι, ἐπεὶ καὶ Εὐφορίων ἐν Διονύσωι φησίν (an. Al. 46) ˛βλαψίφρονα φάρμακα χεῦεν, ὅσσ' ἐδάη Πολύδαμνα, Κυταικὴ (em. Kaibel, Herm. XXII 507: Κυταῒς trad.) ἢ ὅσα Μήδη' — HQ: quae leguntur in codicibus MVQE, ea e Nostis non possunt fluxisse.

ibid. 617: Φαίδιμος ἥρως Σιδονίων βασιλεύς (qui Menelaum redeuntem hospitio excepit): ἄδηλον εἰ κύριον τὸ φαίδιμος· τινὲς δὲ αὐτὸν Σώβαλον, οἱ δὲ Σέθλον ὀνομάζουσι.

36 de Helena dea nautis propitia:

schol. Or. 1637 (*o*): σύνθακος ἔσται ναυτίλοις σωτήριος: (ὅτι καὶ ἡ Ἑλένη τοῖς χειμαζομένοις κατὰ θάλασσαν ἐπήκοός ἐστι κατὰ Εὐριπίδην, σεσημείωται). ὁ μέντοι Σωσίβιος (fr. 16) ἔμπαλιν οἴεται οὐκ εὐμενῶς αὐτὴν ἐπιφαίνεσθαι. Πολέμων δὲ ἐν τῶι δ̄ πρὸς Ἀναξανδρίδην (fr. 76a) τὴν μὲν τῶν δυοῖν ἀστέρων ἐπιφάνειαν τῶν Διοσκούρων ἀνωμολογῆσθαι, τὴν δὲ * * τῶν λεγομένων Ζωβείρων. —

Sequuntur Θηβαικῶν παραδόξων συναγωγῆς frusta:

37 de Cadmi uxore:

schol. Phoen. 7 (aut *o* aut *d*): ἔνιοι (= Ἔφορος Δημαγόρας) Ἁρμονίαν τὴν Ἠλέκτρας τῆς Ἄτλαντος λέγουσιν αὐτὸν γεγαμηκέναι. Κυπρίδος Ἁρμονίαν: Δερκύλος (fr. 4) Θηβαίου τινὸς Δράκοντος, Ἄρεως δὲ υἱοῦ φησιν εἶναι τὴν Ἁρμονίαν θυγατέρα, ὃν φονεύσας Κάδμος ἔγημεν Ἁρμονίαν. Ἔφορος δὲ (fr. 12) Ἠλέκτρας τῆς Ἄτλαντος αὐτὴν εἶναι λέγει, Κάδμου δὲ παραπλέοντος τὴν Σαμοθράικην ἁρπάσαι αὐτήν, τὴν δὲ εἰς τιμὴν τῆς μητρὸς ὀνομάσαι τὰς Ἠλέκτρας πύλας. ˛καὶ νῦν ἔτι ἐν τῆι Σαμοθράικηι ζητοῦσιν αὐτὴν ἐν ταῖς ἑορταῖς'. Δημαγόρας δὲ (IV 378) ἀπὸ Λιβύης ἐλθοῦσαν τὴν Ἠλέκτραν οἰκῆσαι τὴν Σαμοθράικην, ἔνθα συγγενομένη Διὶ ἐτέκνωσεν Ἠετίωνα Δάρδανον Ἁρμονίαν· τὸν

δὲ Κάδμον παραπλέοντα ἐπὶ ζήτησιν τῆς ἀδελφῆς μετὰ Θάσου μυηθῆναί τε καὶ μυούμενον ἰδεῖν τὴν Ἁρμονίαν, προνοίαι δὲ Ἀθηνᾶς ἁρπάσαι αὐτήν.

schol. Phoen. 5 (aut *o* aut *d*): Κάδμος ἡνίκ' ἦλθε γῆν: ὁ Κάδμος παρὰ τοῦ πατρὸς αὐτοῦ ἀποσταλεὶς τὴν ἰδίαν ζητῆσαι ἀδελφὴν καὶ μὴ ὑποστρέψας εἰς τὴν ἑαυτοῦ πατρίδα διὰ τὸ ἀπαγορευθῆναι παρὰ τοῦ πατρὸς εἰ μὴ αὐτὴν καταλάβοι, τὴν Ἁρμονίαν ἁρπάσαι προνοίαι Ἀθηνᾶς λέγεται (= Demagoras schol. ad v. 7 laudatus) — M. Λιβύης τῆς Ἐπάφου καὶ Ποσειδῶνος Ἀγήνωρ καὶ Βῆλος· Ἀγήνορος δὲ καὶ Ἀργιόπης τῆς Νείλου Κάδμος Κίλιξ Φοῖνιξ, ἀφ' οὗ οἱ Φοίνικες· Φοίνικος καὶ Τηλέφης τῆς Ἐπιμεδούσης Πείρως Ἀστυπάλη Εὐρώπεια· ἔνιοι δὲ ἀντὶ Ἁρμονίας Ἠλέκτραν αὐτόν φασι γῆμαι (cf. Ephor.) — MTAB. Ubi quod inter Demagorae atque Ephori sententiam interiectum legitur stemma, e doctissimis est: conferendi Pherecydes in schol. Ap. III 1186, Asius poeta ap. Paus. VII 4 (fr. 7 Ki.), Moschus (Εὐρώπης vv. 7, 41), Steph. Byz. Θάσος, Γαληψός; forma Εὐρώπεια logographum redolet (Hecat. fr. 164).

de Athenae Oncae templo a Cadmo condito: 38

schol. Phoen. 1062 (aut *d* aut *o*): Παλλὰς ἃ δράκοντος: δοκεῖ Ἀθηνᾶ συμπρᾶξαι τῶι Κάδμωι κατὰ τῶν Σπαρτῶν, διὸ καὶ ἱδρύσατο ταύτην Ὄγκαν προσαγορεύσας τῆι τῶν Φοινίκων διαλέκτωι. ἐπεγέγραπτο δὲ τῶι ἱερῶι τούτωι·

Ὄγκας νηὸς ὅδ' ἐστὶν Ἀθήνης, ὅν ποτε Κάδμος
Εἵσατο βοῦν θ' ἱέρευσεν ὅτ' ἔκτισεν ἄστυ τὸ Θήβης.

Epigramma ex Aristodemi sylloga per Lysimachum ad hanc aetatem venisse credimus (cf. ad fr. 72).

de dracone a Cadmo interfecto:

schol. Phoen. 662 (aut *d* aut *o*): ὃν ἐπὶ χέρνιβας μολὼν Κ. ὤλεσε μαρμάρωι: ὁ μὲν οὖν Ἑλλάνικος (fr. 9) λίθωι φησὶν ἀναιρεθῆναι τὸν δράκοντα, ὁ δὲ Φερεκύδης ξίφει:

de Laii oraculo: 39

schol. Pind. Ol. II 70 *(Di)*: Μόριμος υἱός: . . . . . ὁ δὲ χρησμὸς ὁ δοθεὶς Λαίωι δημώδης· Λάιε Λαβδακίδη κ. τ. ἑξῆς' (cf. argum. Phoen. pag. 243 Schw.). ἐν δὲ τοῖς Παιᾶσιν[1]) εἴρηται περὶ τοῦ

[1]) Pindari ipsius carmina significari arbitratur Horn (de Aristarchi stud. Pind. diss. Gryph. 1883, thes. II), Didymi commentarios Schmidt (Did. Chalc. p. 239).

χρησμοῦ τοῦ ἐκπεσόντος Λαίωι, καθὰ καὶ Μνασέας ἐν τῶι περὶ χρησμῶν γράφει (fr. 47)·

Λάιε Λαβδακίδη ἀνδρῶν περιώνυμε πάντων.

40 de Polybo:

schol. Soph. Oed. reg. 775 *(Di):* Φερεκύδης φησὶ (fr. 47) Μέδουσαν εἶναι τὴν Πολύβου γυναῖκα, θυγατέρα δὲ Ὀρσιλόχου τοῦ Ἀλφειοῦ, οἱ δὲ Ἀντιοχίδα τὴν Χάλκωνος.

schol. Phoen. 28 (aut *d* aut *o*): Πολύβου δέ νιν: τύραννος καὶ αὐτὸς ἐν ἑτέρωι μέρει τῆς Βοιωτίας· οἱ δὲ τῆς Κορίνθου φασὶ βασιλέα[1]).

41 de via, quae σχιστὴ ὁδὸς vocatur:

schol. Soph. Oed. reg. 733 *(Di):* σχιστὴ δ' ὁδὸς ἐς ταὐτὸ κτλ: περὶ Δαυλίδα φησὶ τὴν σχ. ὁ., ὁ δὲ Αἰσχύλος (in Oed., fr. 173) περὶ Ποτνίας οὕτως·

ἐπῆιμεν τῆς ὁδοῦ τροχήλατον
σχιστῆς κελεύθου τρίοδον, ἔνθα συμβολὰς
τριῶν κελεύθων Ποτνιάδων ἠμείβομεν[2]).

42 de Laii equis:

schol. Phoen. 44 (aut *o* aut *d*): καὶ λαβὼν ὀχήματα: (Ζητοῦσι, πῶς ἐπὶ τὸ μαντεῖον οὐκέτι ἀπῆλθεν ὁ Οἰδίπους. φασὶν ὅτι οὐκ ᾤιετο τὸν θεὸν εὐθέως χρήσειν αὐτῶι μυσαρῶι γενομένωι πρὶν καθαρθῆναι, καὶ ἅμα ἵνα μὴ γνῶι ὅτι πατέρα ἔκτεινεν· εἵμαρτο γὰρ αὐτῶι καὶ μητέρα γῆμαι). ὅτι δὲ Πολύβωι δέδωκε τοὺς ἵππους καὶ Ἀντίμαχός φησιν ἐν Λύδηι (fr. 3)·

εἶπε δὲ φωνήσας· ‚Πόλυβε, θρεπτήρια τούσδε
ἵππους τοι δώσω δυσμενέων ἐλάσας'.

(Ζητοῦσι δὲ πάλιν κτλ).

auriga:

schol. Phoen. 39 (aut *o* aut *d*): ὁ ἡνίοχος. Πολυφόντην δὲ τὸν κήρυκα * *· τοῦτον Φερεκύδης (fr. 47ᵃ) Πολυποίτην φησίν.

---

[1]) Annotare placet cum scholii ad Phoen. 26 initio (θηριώδης φασι καὶ ἀνόητος κτλ) cohaerere scholl. ad 24 καὶ λελωβημένον κτλ, 28 ἀπίθανον τὸ τοὺς βουκόλους βρέφος ἀνελέσθαι καὶ οὕτως λελωβ. κτλ, 31 εὔηθες δέ, φασιν, εἰ λελωβ. κτλ. — In schol. ad v. 28 repetita est ea fabula quae in fr. XI secundum locum tenet οἱ δὲ εἰς θάλασσαν ἐκριφῆναι κτλ.....

[2]) Ea quae sequuntur τινὲς δὲ τὴν Δαυλίδα Ἀνακρίδα λέγουσιν οὕτω· Κρίσσαν τε Ζαθέην καὶ Ἀνακρίδα καὶ Πανοπῆα (B 520), (quae cum Zenodoti scriptura ... ἠδὲ Πανόπτεων an cohaereant dubitat Kaibelius), utrum e nota aliqua iam a Lysimacho adiecta sint depravata, an a grammatico demum interpolata, non diiudicarim.

de Oedipodis itinere Delphico: 43

schol. Phoen. 33 (aut *o* aut *d*): ἢ γνοὺς ἤ τινος μαθών: γνοὺς ὅτι οὐκ εἴη Πολύβου παῖς γνήσιος ἀλλὰ νόθος ἢ μαθὼν παρά τινος τῶν ἡλικιωτῶν ὀνειδίσαντος ὅτι νόθος εἴη. ἔνιοι δέ φασιν εἰς Πυθῶνα ἐξεληλυθέναι τὸν Οἰδίποδα ἵνα τροφεῖα ἀποδῶι τῶι Ἀπόλλωνι.

Sphingem quinam deus miserit: 44

schol. Phoen. 1031 (aut *d* aut *o*): ἔφερες ἄχεα-φόνια· φόνιος ἐκ θεῶν ὃς τάδ' ἦν ὁ πράξας: ..... παρόσον τὴν Σφίγγα ὁ Διόνυσος ἔπεμψε, ὡς ἐν Ἀντιγόνηι λέγει (restit. Ungerus Theb. parad. 386: ἐναντίον λέγειν codd.)

schol. Hesiod. Theog. 326: Φῖκ' ὀλοήν: Φῖκα τὴν Σφίγγα λέγει. αὕτη δέ ἐστι θυγάτηρ Χιμαίρας καὶ Τυφῶνος..... Λύκος δὲ ἐν τῶι περὶ Θηβῶν (Θηβαίων traditum: fr. 14c = IV 657) αὐτὴν ὑπὸ Διονύσου πεμφθῆναί φησιν: cf. etiam argumenti (pag. 395_{15} sq. N.) locum ubi Mars nominatur; de scholio Phoen. 1760 (= Pisandr. fr. 19, cf. Lys. fr. 115) longum est nunc disputare (cf. Bethe Theb. Heldenl. 4_{10} sq.).

de Oedipodis uxoribus: 45

schol. Phoen. 53 (*v. s.*): γαμεῖ δὲ τὴν τεκοῦσαν: Φερεκύδης τὰ κατὰ τοὺς Οἰδίποδος παῖδας καὶ τὰς γημαμένας οὕτως ἱστορεῖ (fr. 48, cf. Bethe th. H. 23)· Οἰδίποδι, φησί, Κρέων δίδωσι τὴν βασιλείαν καὶ τὴν γυναῖκα Λαίου, μητέρα δ' αὐτοῦ Ἰοκάστην, ἐξ ἧς γίνονται αὐτῶι Φράστωρ καὶ Λαόνυτος, οἳ θνήισκουσιν ὑπὸ Μινυῶν καὶ Ἐργίνου. ἐπεὶ δὲ ἐνιαυτὸς παρῆλθε, γαμεῖ ὁ Οἰδίπους Εὐρυγάνειαν τὴν Περίφαντος, ἐξ ἧς γίνονται αὐτῶι Ἀντιγόνη καὶ Ἰσμήνη, ἣν ἀναιρεῖ Τυδεὺς ἐπὶ κρήνης καὶ ἀπ' αὐτῆς ἡ κρήνη Ἰσμήνη καλεῖται. υἱοὶ δὲ αὐτῶι ἐξ αὐτῆς Ἐτεοκλῆς καὶ Πολυνείκης. ἐπεὶ δὲ Εὐρυγάνεια ἐτελεύτησε, γαμεῖ ὁ Οἰδίπους Ἀστυμέδουσαν τὴν Σθενέλου.' τινὲς δὲ Εὐρυγάνειαν ἀδελφὴν λέγουσιν εἶναι Ἰοκάστης τῆς μητρὸς Οἰδίποδος.

de Oedipodis filiabus: 46

Sallust. Soph. Antig. arg., e scholiis sive *Di* sive *o* sive *d*, cf. fr. 57: στασιάζεται δὲ τὰ περὶ τὴν ἡρωίδα ἱστορούμενα καὶ τὴν ἀδελφὴν αὐτῆς Ἰσμήνης· ὁ μὲν γὰρ Ἴων ἐν τοῖς διθυράμβοις (fr. 12) καταπρησθῆναί φησιν ἀμφοτέρας ἐν τῶι ἱερῶι τῆς Ἥρας ὑπὸ Λαοδάμαντος τοῦ Ἐτεοκλέους· Μίμνερμος δέ (fr. 21) φησι τὴν μὲν Ἰσμήνην προσομιλοῦσαν Θεοκλυμένωι ὑπὸ Τυδέως κατὰ Ἀθηνᾶς ἐγκέλευσιν τελευτῆσαι. (ταῦτα μὲν οὖν ἐστιν τὰ ξένως περὶ τῶν ἡρωίδων ἱστορούμενα. ἡ μέντοι κοινὴ δόξα σπουδαίας αὐτὰς

ὑπείληφεν καὶ φιλαδέλφους δαιμονίως, ἧι καὶ οἱ τῆς τραγωιδίας ποιηταὶ ἑπόμενοι τά περὶ αὐτὰς διατέθειντται).

47 de Oedipodis filiorum lite:

schol. Phoen. 71 *(d)*: ξυμβάντ' ἔταξαν: ἄλλως: (οὗτος ὁ τόπος εἰς ἀσυμφωνίαν ἄγει τὸ δρᾶμα. ἔδει γὰρ ἐξέλασιν ὑποθέσθαι τοῦ Πολυνείκους ἵνα διὰ τῶν ἑξῆς δεόντως λέγοι (401) ‚ποτὲ μὲν ἐπ' ἦμαρ εἶχον, εἶτ' οὐκ εἶχον.' εἰ γὰρ ἀλλήλοις ὑπεχώρησαν ἐνιαυτὸν παρ' ἐνιαυτὸν ἄρχειν, πάντως καὶ τὰ ἐπιτήδεια ἐπεφέρετο ἂν ὁ Πολυνείκης. δεῖ οὖν εἰδέναι ὅτι οὐ παρὰ πᾶσι συμφωνεῖ ἡ Πολυνείκους εἰς Ἄργος ἄφιξις)· Φερεκύδης (fr. 49) γὰρ ἐκβεβλῆσθαι τὸν Πολυνείκην φησὶ μετὰ βίας, Ἑλλάνικος (fr. 12) δὲ ἱστορεὶ κατὰ συνθήκην αὐτὸν παραχωρῆσαι τὴν βασιλείαν Ἐτεοκλεῖ, λέγων αἵρεσιν προθεῖναι τὸν Ἐτεοκλέα, εἰ βούλοιτο τὴν βασιλείαν ἔχειν ἢ τὸ μέρος τῶν χρημάτων λαβεῖν καὶ ἑτέραν πόλιν οἰκεῖν. τὸν δὲ λαβόντα τὸν χιτῶνα καὶ τὸν ὅρμον Ἁρμονίας ἀναχωρῆσαι εἰς Ἄργος κρίναντα ἀντὶ τούτων τὴν βασιλείαν [Οἰδίποδι] παραχωρῆσαι· ὧν τὸν μὲν ὅρμον Ἀφροδίτη, τὸν δὲ χιτῶνα Ἀθηνᾶ αὐτῆι ἐχαρίσατο, ἃ καὶ δέδωκε τῆι θυγατρὶ Ἀδράστου Ἀργείαι. (ὅθεν Εὐριπίδης ταῖς δύο ἱστορίαις ἐχρήσατο, ἐνταῦθα μὲν τῆι Ἑλλανίκου, ὕστερον δὲ τῆι Φερεκύδους: ita scribendum vidit Rabbow (Genethliacon Gotting. 164), codices . . . Φερεκύδους . . . . . Ἑλλανίκου).

48 de Oedipode filios execrante:

schol. Soph. Oed. Col. 1375 (ὑπ. *SOC*): τοιάσδ' ἀρὰς σφῶιν πρόσθε τ' ἐξανῆκ' ἐγὼ κτλ: τοῦτο ἁπαξάπαντες οἱ πρὸ ἡμῶν παραλελοίπασιν· ἔχει δὲ τὰ ἀπὸ τῆς ἱστορίας οὕτως. οἱ περὶ Ἐτεοκλέα καὶ Πολυνείκην δι' ἔθους ἔχοντες τῶι πατρὶ Οἰδίποδι πέμπειν ἐξ ἑκάστου ἱερείου μοῖραν τὸν ὦμον ἐκλαθόμενοί ποτε εἴτε κατὰ ῥαιστώνην εἴτε ἐξ ὁτουοῦν ἰσχίον αὐτῶι ἔπεμψαν, ὃ δὲ μικροψύχως καὶ τελέως ἀγεννῶς † ὁμῶς γοῦν ἀρὰς ἔθετο κατ' αὐτῶν δόξας κατολιγωρεῖσθαι· ταῦτα ὁ τὴν κυκλικὴν Θηβαΐδα ποιήσας ἱστορεῖ οὕτως (fr. 3)·

ἰσχίον ὡς ἐνόησε χαμαὶ βάλεν εἶπέ τε μῦθον.
‚ὤ μοι ἐγώ, παῖδες μὲν ὀνειδείοντες ἔπεμψαν',
. . . .
εὖκτο Διὶ βασιλῆι καὶ ἄλλοις ἀθανάτοισι
χερσὶν ὑπ' ἀλλήλων καταβήμεναι Ἄιδος εἴσω.

τὰ δὲ παραπλήσια τῶι ἐποποιῶι καὶ Αἰσχύλος ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβαις (724 sq.)· καὶ ἔοικεν τὸ τῆς ἱστορίας ἥκειν ἐπὶ

πολλούς, ὡς καὶ παρά τινι[1]) αὐτὰ ἐκτεθεῖσθαι πρὸς τὸ γελοιότερον διὰ τούτων (FTG² 928, ubi disputatur de scriptura versuum)·

ἀεὶ δ' ὁρῶντί τ' ὀξὺ † καὶ τυφλὸς ἦν·
θυσίας γὰρ ἀπαρχὰς γέρας ἐπέμπομεν πατρὶ
περισσὸν ὦμον ἔκκριτον γέρας.
† τὸ δήγε σῦν κόψαντες, οὐ μεμνημένοι,
λήσειν δοκοῦντες ἀντὶ τοῦ κεκομμένου
ἐπέμψαμεν βόειον, ὁ δὲ λαβὼν χερὶ
ἔγνω 'παφήσας εἶπέ τ' ἐκ θυμοῦ τάδε·
'τίς μοι τόδ' † αντόμοιον μισητὸν κρέας
πέμπων; γέλωτα δή με ποιοῦνται κόροι
θύοντες ὕβρει, 'τυφλὸς οὔτι γνώσεται'
οὕτω λέγοντες· ὦ θεοί, μαρτύρομαι
ἐγὼ τάδ' ὑμᾶς καὶ κατεύχομαι κακὰ
αὐτοῖσιν αὐτοὺς τῶνδε δὶς τόσα σχεθεῖν,
χαλκῶι θὲ μαρμαίροντες ἀλλήλων χρόα
σφάξειαν ἀμφὶ κτήμασιν † βασιλικοῖς.

καὶ Μένανδρος ἐν Ναυκλήρωι (fr. 350)·

ὅ τε Πολυνείκης πῶς ἀπώλετ' οὐχ ὁρᾶις;

(perierunt reliqua).

de Oedipodis morte: 49

scholl. ad Phoen. 61 (aut *d* aut *o*): εἰς ὄμμαθ' αὐτοῦ: τινές φασιν ἐξ ἰδίας κατάρας ἐπελθεῖν αὐτῶι τὴν πήρωσιν. ἄλλως: ὅμοια Ἑλλάνικος (fr. 12). ἐν δὲ τῶι Οἰδίποδι (fr. 541) οἱ Λαίου θεράποντες ἐτύφλωσαν αὐτόν· 'ἡμεῖς δὲ Πολύβου παῖδ' ἐρείσαντες πέδωι ἐξομματοῦμεν καὶ διόλλυμεν κόρας.' (πῶς δέ, φασίν, ἡ Ἰοκάστη μετὰ τοσαῦτα καὶ τηλικαῦτα δυστυχήματα ἔζη. ῥητέον ὅτι πᾶσα γυνὴ πρὸς θάνατον δειλόν. Μένανδρος· ὀκνεῖ δὲ κτλ.)

III.

Tertium in agmen quae congerimus scholia eis quae antecedunt propter doctrinam similia profectaque ab eisdem grammaticis, haec aut (I) ad heroes fabulasque pertinent, qui quasi gradus in suo quisque gyro tenent eosdem atque qui tractantur fr. I—XVIII, 1—49, aut (II) probe apteque colligant inter se locos iam enumeratos[2]).

[1]) Nisi grammaticus nomen poetae cum affectatione suppressit, τισιν scribendum et post γελοιότερον lacuna statuenda est: <* * * γάρ φησι> διὰ τούτων. . . . .

[2]) Ne uniuscuiusque loci rationem indicare cogamur, breviter praemonemus prioris generis (I) esse fr. 50—71, 77|78, alterius (II) fr. 72—76, 79|80.

Νόστοι.

50 de Priami morte:

schol. Troad. 16 (aut *d* aut *o*): πρὸς δὲ κρηπίδων βάθροις: .... τὸν δὲ Ἕρκειον Δία ἄλλοι ἱστορικοὶ ἀναγράφουσιν ἰδίαν τινὰ σχέσιν περὶ αὐτοῦ ἱστοροῦντες. τρισὶ γὰρ ὀφθαλμοῖς αὐτὸν κεχρῆσθαί φασιν ὡς οἱ περὶ Ἀγίαν καὶ Δερκύλον (fr. 3). πεφόνευται δὲ ὁ Πρίαμος ὑπὸ Νεοπτολέμου δικαίως, ἐπειδὴ καὶ τὸν πατέρα αὐτοῦ Ἀχιλλέα ἐλθόντα ἐπὶ τὸν γάμον τῆς Πολυξένης οἱ περὶ Ἀλέξανδρον ἐν τῶι Θυμβραίου Ἀπόλλωνος ἱερῶι λόγχαις ἀνεῖλον (extrema = schol. Hec. 41: cf. fr. 52; Wilam. HU 181).

51 de Hecubae morte:

schol. Eur. Hec. 1263 (aut *d* aut *o*): κατ' ἐνίους ἡ Ἑκάβη ἑαυτὴν ἔρριψεν εἰς τὴν θάλασσαν.

ibid. 1273 (*v. s.*): κυνὸς ταλαίνης: περὶ τοῦ κυνὸς σήματος καὶ Ἀσκληπιάδης[1]) φησὶν ὅτι κυνὸς καλοῦσι δυσμόρου σῆμα.

52 de Polyxena:

schol. Eur. Hec. 41 (aut *d* aut *o*): τύμβωι φίλον πρόσφαγμα: ὑπὸ Νεοπτολέμου φασὶν αὐτὴν σφαγιασθῆναι Εὐριπίδης καὶ Ἴβυκος (fr. 36)· ὁ δὲ τὰ Κυπριακὰ ποιήσας (Ki. 52) φησὶν ὑπὸ Ὀδυσσέως καὶ Διομήδους ἐν τῆι τῆς πόλεως ἁλώσει τραυματισθεῖσαν ἀπολέσθαι, ταφῆναι δὲ ὑπὸ Νεοπτολέμου, ὡς Γλαῦκος (fr. 6a: IV 653)[2]) γράφει. ἄλλοι δέ φασι συνθέμενον Πριάμωι τὸν Ἀχιλλέα περὶ τοῦ Πολυξένης γάμου ἀναιρεθῆναι ἐν τῶι τοῦ Θυμβραίου Ἀπόλλωνος ἄλσει. cf. schol. ad v. 1 (*o?*) τὰ περὶ τὴν Πολυξένην ἔστι καὶ παρὰ Σοφοκλεῖ εὑρεῖν (N. pag. 245).

---

[1]) Tragilensis an dicatur dubium; de Samio poeta ut cogites (Schwartz II 381), verborum ‚κυνὸς — σῆμα' rhythmus — si est rhythmus — non satis suadet; neque enim iambos ab eo esse compositos aliunde constat.

[2]) Glauci mentio qua possit explicari una offertur ratio eaque parum probabilis. Nam si Glaucum significari Rheginum (FHG II 23) eumque de Cypriorum carminum auctore in libro π. ποιητῶν dixisse licet credere (cf. Sengebusch diss. Hom. I 209, Foerster Herm. XVIII 475), verba ὡς Γλ. γράφει haberi possunt pro frusto doctae de Cypriorum variis qui putabantur auctoribus annotationis, qualis de Iliade minore legitur in schol. Troad. 822 (fr. 82), de Cypriis ap. Proclum (Ki. 15), Ath. XV 682 d e, de carmine Naupactio ap. Paus. X $38_{,11}$. Cui explicationi obstat, quod de Polyxena altero demum libro egisse videtur L. (pag. 23/24): atqui et annotationem id genus non unicuique sed primae eius carminis mentioni aspersam et Cypria carmina iam in libro primo advocata fuisse probabile est. — Ceterum τ. τὰ Κυπριακὰ ποιήσαντα spectare ad carmen recte monuit Bethe (Herm. XXVI 592) contra Wilam. HU 181_{27}.

schol. Lyc. 269 *(Th)*: λαβὼν δὲ ταύρου: φασὶν ὅτι Ἀχιλλεὺς ἐρασθεὶς Πολυξένης τῆς θυγατρὸς Πριάμου ἐδήλωσε τῶι Πριάμωι συμμαχήσειν αὐτῶι, εἰ λάβοι τὴν παῖδα· ὁ δὲ συνέθετο αὐτῶι δοῦναι, καὶ ἐλθὼν ἐν τῶι τοῦ Θυμβραίου Ἀπόλλωνος ἱερῶι ὁ Ἀλέξανδρος λάθραι ἐτόξευσε τὸν Ἀχιλλέα καὶ οὕτως συνέβη ἀποθανεῖν τὸν ἥρωα. λαβόντες δὲ τὸ σῶμα αὐτοῦ οἱ Τρῶες ἠσφαλίσαντο, οὐ πρότερον δώσειν ἐπαγγελλόμενοι πρὶν ἂν τὰ δῶρα τὰ ὑπὲρ Ἕκτορος δοθέντα ἐξοπίσω λάβωσιν, ὃ καὶ γέγονε· λαβόντες οὖν τὰ δῶρα ἔδωκαν τὸν νεκρόν. (cf. schol. Serv. ad Aen. III 321, Hygin. 110: Förster Herm. XVII 201 sq: ubi de Polyxena testimonia larga proponuntur.)

de Hectoris corpore a Priamo redempto: 53

schol. Lyc. 270 *(Th)*: σκεθρῶι ταλάντωι: Ὅμηρος μὲν (Ω 579) ἁπλῶς δῶρά φησιν τῶι Ἀχιλλεῖ δοθῆναι ὑπὲρ Ἕκτορος· ὁ δὲ Λυκόφρων καὶ ἄλλοι τινὲς ζυγοσταθμηθέντα αὐτῶι ἴσον χρυσὸν δοθῆναι τοῦ βάρους.

de Aeneae fuga: 54

Steph. Byz. Αἶνεια *(Th)*:.... ἀπὸ Αἰνείου. Θέων δ' Αἰνειάδας ταύτην καλεῖ ὑπομνηματίζων τὸν Λυκόφρονα (1263 sq)[1]· ‚Αἰνείας δὲ μετὰ τὴν Ἰλίου πόρθησιν εἰς Θράικην παρεγένετο καὶ ἔκτισε πόλιν Αἰνειάδας, ὅπου τὸν πατέρα ἔθαψε': haec narravit aut Hegesianax (fr. 4) aut Hegesippus (fr. 3)[2], cf. Dion. Hal. ἀρχ. I 49(1+4), Conon. narr. 46 (vid. supr. pag. 50 not.).

schol. Lyc. 1263: ἃ δὴ παρώσας: ..... Αἰνείου δὲ γυνὴ Κρέουσα Πριάμου θυγάτηρ, ἀφ' ἧς ἔσχεν Ἀσκάνιον καὶ Εὐρυλέοντα + 1226: ἄμναμοι: ὅτι Ῥῶμος καὶ Ῥωμύλος ἀπὸ Κρεούσης τῆς Πριάμου ἐγένοντο, οἵτινες μετὰ τῶν Ἕκτορος, Ἀστυάνακτος καὶ Σαπερνίου, ἔκτισαν τὴν Ῥώμην: quae duae particulae videntur fabulae unius, ni fallor, Hegesianacteae (fr. 8), cf. Dion. Hal. I 72, alios (cap. IV); quae vero de Hectoris filiis hoc loco leguntur prorsus singularia, ut in reliquis Hegesianacteae narrationis testimoniis desiderantur, ita ex hoc ipso scholio addenda arbitror: simili ratione Hectoris Aeneaeque filios ante Hegesianactem coniunxerunt Hellanicus ap. Dion. Hal. I 47₅ et Dionysius Chalcidensis in fr. Lys. VII.

[1]) Theonei commentarii hoc frustum praeter Stephanum unus servavit Tzetzes. — Ceterum e scholiis Lycophroneis supra indicatis quanto opere scholiastae sequiores Theonis commentarium decurtaverint intellegitur.

[2]) Alteriusutrius nomen in pleno Theonis commentario, unde particulam maxime exiguam excerpsit Stephanus, memoratum fuisse suspicor.

ibid. 1242: σὺν δέ σφι μίξει: Ὀδυσσέα φασὶν (et Lycophro et Hellanicus Damastesque, cf. Dion. Hal. I 72) ἐν Ἰταλίαι συντυχεῖν Αἰνείαι καὶ συνθήκας μετ' ἀλλήλων καὶ εἰρήνην ποιῆσαι. Quae leguntur ad vv. 1242 νάνος, 1250 ἔνθα τράπεζαν, 1268 τούτωι μόνωι πόρωσιν, ea ad meram Lycophronis versuum paraphrasin redeunt.

55 de Agamemnonis morte:

schol. Soph. El. 281 *(Di)*: τηροῦσ' ἐκείνην ἡμέραν, ἐν ἧι τότε πατέρα τὸν ἀμὸν ἐκ δόλου κατέκτανεν, ταύτηι κτλ: οἱ Ἀργολικοὶ συγγραφεῖς ιγ̅ εἶναί φασι Γαμηλιῶνος, ὡς Δεινίας ἐν ζ̅ Ἀργολικῶν (fr. 2).

56 de Patroclo:

schol. Ψ 86 T + Ψ 87 A *(Pp)*: ἀνδροκτασίης: καταχρηστικῶς. παῖδα γὰρ ἀνεῖλεν, ὃν οἳ μὲν Κλεισώνυμον, οἳ δὲ Αἰανῆ, οἳ δὲ Λύσανδρον ⟨τὸν Ἀμφιδάμαντος: B⟩ καλεῖσθαι· ἀπέκτεινε δὲ αὐτὸν παρὰ Ὀθρυονεῖ τῶι γραμματιστῆι, ὥς φησιν Ἀλέξανδρος ὁ Αἰτωλὸς ἐν Ἀστραγαλισταῖς (N. 817, an. Al. 217). schol. A: τοῦτον Κλεισώνυμον Φερεκύδης (fr. 19) ἱστορεῖ. ibid. ad vers. 89 T *(As)*: οἱ νεώτεροί φασι διὰ τὸν Εὐρυτίωνος τοῦ Ἴρου φόνον.

57 de Aiace Telamonio:

schol. Arist. Eq. 1056 (Symmach. e *Di*): καί κε γυνὴ φέροι ἄχθος κτλ: ἡ ἱστορία τοῦτον τὸν τρόπον ἔχει. ὅτι διεφέροντο περὶ τῶν ἀριστείων ὅ τε Αἴας καὶ ὁ Ὀδυσσεύς, ὥς φησιν ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκώς. τὸν Νέστορα δὲ συμβουλεῦσαι τοῖς Ἕλλησι πέμψαι τινὰς ἐξ αὐτῶν ὑπὸ τὰ τείχη τῶν Τρώων ὠτακουστήσοντας περὶ τῆς ἀνδρείας τῶν προειρημένων ἡρώων. τοὺς δὲ πεμφθέντας ἀκοῦσαι παρθένων διαφερομένων πρὸς ἀλλήλας. ὧν τὴν μὲν λέγειν ὡς ὁ Αἴας πολὺ κρείττων ἐστὶ τοῦ Ὀδυσσέως διερχομένην οὕτως (fr. 2)·

Αἴας μὲν γὰρ ἄειρε καὶ ἔκφερε δηιότητος
ἥρω Πηλείδην οὐδ' ἤθελε δῖος Ὀδυσσεύς·

τὴν δὲ ἑτέραν ἀντειπεῖν Ἀθηνᾶς προνοίαι

πῶς ἐπεφωνήσω; πῶς οὐ κατὰ κόσμον ἔειπες
[ψεῦδος: del. Wolf];
καί κε γυνὴ φέροι ἄχθος, ἐπεί κεν ἀνὴρ ἀναθείη.

schol. Soph. Aiac. 833 *(Di)*: ξὺν ἀσφαδάστωι: ..... παραδεδομένον δὲ κατὰ ἱστορίαν ὅτι κατὰ τὸ ἄλλο σῶμα ἄτρωτος ἦν ὁ Αἴας, κατὰ δὲ τὴν μασχάλην μόνην τρωτὸς διὰ τὸ τὸν Ἡρακλέα τῆι λεοντῆι αὐτὸν σκεπάσαντα τοῦτο τὸ μέρος ἀσκέπαστον ἐᾶσαι διὰ τὸν γωρυτὸν ὃν περιέκειτο (= Pind. Isthm. V 47, v. infr.)·

φησὶ δὲ περὶ αὐτοῦ *Αἰσχύλος* (fr. 83), ὅτι καὶ τὸ ξίφος ἐκάμπτετο οὐδαμῆι ἐνδιδόντος τοῦ χρωτὸς τῆι σφαγῆι ‚τόξον ὥς τις ἐντείνων', πρὶν δή τις, φησί, παροῦσα δαίμων ἔδειξεν αὐτῶι κατὰ ποῖον μέρος δεῖ χρήσασθαι τῆι σφαγῆι· (ὁ δὲ *Σοφοκλῆς*, ἐριθεῦσαι μέν τι ὡς πρεσβυτέρωι μὴ βουληθεὶς οὐ μήν παραλιπεῖν αὐτὸ δοκιμάζων, ψιλῶς φησι ‚πλευρὰν ἀναῤῥήξαντα τῶιδε φασγάνωι', κατὰ τί τὴν πλευρὰν μὴ εἰπών: haec Didymi ipsius sunt).

Didymi scholium augendum videtur e *Sallustii* argumento (Soph. ed. Bergk. p. 4): περὶ δὲ τῆς πλευρᾶς, ὅτι μόνην αὐτὴν τρωτὴν εἶχεν, ἱστορεῖ καὶ *Πίνδαρος* (Isth. V 47), ὅτι τὸ μὲν σῶμα ὅπερ ἐκάλυψεν ἡ λεοντῆ ἄτρωτον ἦν, τὸ δὲ μὴ καλυφθὲν τρωτὸν ἔμεινεν.

schol. Lyc. 455 *(Th)*: *χέαντος*: Ἡρακλῆς τῶι λέοντος δέρματι τὸν Αἴαντα περιεκάλυψεν, ὅπως ἄτρωτος εἴη· μαρτυρεῖ δὲ τοῦτο καὶ *Πίνδαρος* (l. s.) . . . . . ἄλλως. μίαν ὁδόν φησι (ὁ Λυκ.) πρὸς τὸν Ἅιδην εἶναι, παρόσον ὁ ὑπὸ τοῦ γωρυτοῦ κρυφθεὶς τόπος τοῦ σώματος τοῦ Αἴαντος τρωτὸς ἦν, τὸ δὲ ἄλλο σῶμα ἄτρωτον. τοῦτον δὲ οἳ *μὲν* περὶ τὴν κλεῖδά φασιν εἶναι, οἳ *δὲ* περὶ τὰ πλευρά, ὡς *Αἰσχύλος ἐν Θρήισσαις* φησίν (l. s.).

scholl. Ξ 404 T *(As)*: *τῆι ῥα δύω τελαμῶνε*: κατὰ τὴν κλεῖν· τρωτὸς δὲ ὁ Αἴας ὅλον τὸ σῶμα, οὐχ ὡς *Αἰσχύλος* τὰ περὶ τὴν μασχάλην. . . .

+ 405: *ἤ τοι ὃ μὲν σάκεος*: . . . . . *τινὲς* δὲ πηλῶι βάλλεσθαι αὐτὸν ὑπὸ Τρώων, εἴ πως βαρηθείη ὑπὸ τοῦ πηλοῦ· ἀποσεισάμενον δὲ αὐτὸν δύο κολωνοὺς ποιῆσαι. — (ἀλλ' οὐδὲ θεός, φασίν, αὐτῶι βοηθεῖ . . . . .), οἳ *δέ*, ὅτι τῆς ἀσπίδος ἐξέκοψε γλαῦκα· ὅθεν οὐκ ἐβοήθει αὐτῶι Ἀθηνᾶ[1]).

Eandem fabellam, quam *As* in fine huius scholii, annotavit etiam *Didymus* schol. Soph. Aiac. 127: *ὑπέρκοπον*: φασὶ τὸν Αἴαντα τρίτον[2]) ἠσεβηκέναι περὶ τοὺς θεούς, πρῶτον μὲν ἐκβαλεῖν τοῦ δίφρου τὴν Ἀθηνᾶν βουλομένην αὐτῶι συμμαχεῖν, *δεύτερον ἀπαλεῖψαι τὴν γλαῦκα τὴν ἐγγεγραμμένην τῶι ὅπλωι αὐτοῦ ἐξ ἔθους πατρώιου*, τρίτον ὅτι οὐκ ἐπείσθη τῶι πατρὶ συμβουλεύοντι πείθεσθαι τοῖς θεοῖς . . . . .

---

[1]) De schol. Ξ 405 scriptura non plana conferendus est Schwartz, Fleck. ann. suppl. XII 429 sq.; Aeschyli sententiam in schol. Lyc. esse corruptam demonstrant scholia ad Soph., ad Ξ 404.

[2]) τρίς vel τρία Dindorf.

schol. Lyc. 459 sq. *(Th):* δυσμενεστάτου . . . ξένων: τοῦ Ἕκτορος. ὅτι δὲ ξίφει τοῦ Ἕκτορος ἀνεῖλεν ἑαυτόν, καὶ Σοφοκλῆς μαρτυρεῖ (Ai. 817, 906). (αὐτουργὸν δὲ καλεῖ (Lyc.) τὸν Αἴαντα, ἐπεὶ ἑαυτὸν ἀνεῖλεν). Ἀντικλείδης δέ (fr. 11) φησιν αὐτὸν ὑπὸ τοῦ Πάριδος τοξευθέντα ἀποθανεῖν.

Sallust. l. s. *(Di):* περὶ δὲ τοῦ θανάτου τοῦ Αἴαντος διαφόρως ἱστορήκασιν. οἳ μὲν γάρ φασιν ὅτι ὑπὸ Πάριδος τρωθεὶς ἦλθεν εἰς τὰς ναῦς αἱμορροῶν (Anticl.), οἳ δὲ ὅτι χρησμὸς ἐδόθη Τρωσὶ πηλὸν κατ' αὐτοῦ βαλεῖν· σιδήρωι γὰρ οὐκ ἦν τρωτός· καὶ οὕτω τελευτᾶι (schol. Ξ 404), οἳ δὲ ὅτι αὐτόχειρ αὐτοῦ γέγονεν, (ὧν ἐστι καὶ Σοφοκλῆς).

schol. Theocr. X 28 *(Th):* καὶ ἁ γραπτὰ ὑάκινθος: τὴν ὑάκινθόν φασιν ἀπὸ τοῦ αἵματος τοῦ Αἴαντος ἀναδοθῆναι τοῦ ἐν Τροίαι μανέντος κτλ . . . . ., εἰς ὃ ὁ Εὐφορίων (an. Al. 69 sq.) ἀπιδὼν εἶπε·

πορφυρέη ὑάκινθε, σὲ μὲν μία φῆμις ἀοιδῶν
Ῥοιτείῃις ἀμάθοισι δεδουπότος Αἰακίδαο
εἴαρος ἀντέλλειν γεγραμμένα κωκύουσαν.

schol. Eust. B 558 (*Pp*; Schrader, Herm. XIV 235): . . . καὶ ὅτι Εὐφορίων λέγει τοῦ αἵματος τοῦ ῥυέντος ἐκ τῆς τοῦ Αἴαντος σφαγῆς ὑάκινθον ἐκφῦναι· καὶ ὅτι ὁ τὴν μικρὰν Ἰλιάδα (fr. 3) γράψας ἱστορεῖ μηδὲ καυθῆναι συνήθως τὸν Αἴαντα, τεθῆναι δὲ οὕτως ἐν σορῶι διὰ τὴν ὀργὴν τοῦ βασιλέως. — Aiacis fabulis adiungi poterant quae de Teucro legebantur: qua ex parte fluxisse crediderim quae Serv. Dan. ad Aen. I 619 affert.

58 de Aiacis minoris scelere et poena:

schol. Lyc. 1141 *(Th):* πένθος δὲ πολλαῖς: λοιμοῦ κατασχόντος τὴν Λοκρίδα διὰ τὴν εἰς Κασάνδραν ἀθεμιτομιξίαν Αἴαντος ἔχρησεν ὁ θεός, παρθένους ἐνιαυσιαίας εἰς Τροίαν τῆι Ἀθηνᾶι ἀποστέλλειν ἐπὶ χίλια ἔτη· πεμπόμεναι δὲ αὗται ἐφονεύοντο ὑπὸ τῶν Τρώων· προυπαντῶντες γὰρ οἱ Τρῶες, ἐλιθοβόλουν αὐτάς· εἰ δέ τινες ἐκφύγοιεν ἀνελθοῦσαι λάθραι εἰς τὸ τῆς Ἀθηνᾶς ἱερόν, τὸ λοιπὸν αὗται ἱέρειαι ἐγίνοντο· τὰς δὲ ἀναιρεθείσας ἔκαιον ἀκάρποις καὶ ἀγρίοις ξύλοις· τὰ δὲ ὀστᾶ αὐτῶν ἀπὸ Τράρωνος ὄρους τῆς Τροίας εἰς θάλασσαν ἔρριπτον· καὶ πάλιν οἱ Λοκροὶ ἀπέστελλον ἄλλας. ταύτης δὲ τῆς ἱστορίας καὶ Καλλίμαχος μέμνηται (fr. 13 d). Quam Tzetzes ad eundem locum ex Apollodori bibl. (= ep. Vatic. 74) ascripsit narrationem, ei in fine adiecit: ὥς φησι Τίμαιος ὁ Σικελός (fr. 66)· μέμνηται ταύτης καὶ Καλλίμαχος (v. s.); quae dubito an e scholio vetere pleniore

hausta Lysimacho vindicanda sint. Idem Tzetzes quae de iisdem rebus plane singularia affert ad Lyc. 365 (564 M), nescio unde sibi sumpserit. Callimachi fit mentio etiam schol. N 66: Ὀιλῆος ταχὺς Αἴας: ἡ ἱστ. παρὰ Καλλιμάχωι ἐν ᾱ Αἰτίων καὶ π. τ. ποιητῆι ἐν δ̄ τῆς Ὀδυσσείας (499).

de Locrorum erroribus quae Serv. Dan. ad Aen. XI 265 affert, 58b
fortasse e Nostis fluxerunt: *alii hos circa Syrtes posuisse sedes, alii in Libya insulas quasdam inhaerentes occupasse eqs, alii...., alii....*

de Protesilao: 59

schol. Lyc. 529 (*Th*): οὗ δή ποτ' αἴθων: (αἴθωνα κίρκον τὸν Πρωτεσίλαον καλεῖ, ἵνα γίγαντα τὸν Ἕκτορα ἀκούσωμεν)· ἱστορεῖ δὲ Σοφοκλῆς ἐν Ποιμέσιν (fr. 457) ὑπὸ τοῦ Ἕκτορος ἀναιρεθῆναι τὸν Πρωτεσίλεων· ὁμοίως δὲ καὶ Δημήτριος ὁ Σκήψιος (fr. 75 G) παρ' Ὁμήρωι γράφεσθαι

τὸν ἔκτανε φαίδιμος Ἕκτωρ
νηὸς ἀποθρώσκοντα (B 701: Δάρδανος ἀνὴρ codd.).

schol. Eust. ad B 701 pag. 325—326₉ (*Pp*): (1—7) παθαίνεται δὲ Ὅμηρος ἐν τούτοις ἐπὶ τῶι Πρωτεσιλάωι, οἷα φιλέλλην οἰκτιζόμενος, ἔστι δὲ καί θαυμάζων τοῦ θράσους, εἴπερ χρησμοῦ δοθέντος πρῶτον ἐν Τροίαι πεσεῖν τὸν προπηδήσαντα τῆς νηὸς Ἀχιλλεὺς μὲν ὑπέτρεσε, κατά τινας καὶ τελευταῖος εἰς γῆν ὁ τῶν Ἑλλήνων πρώτιστος κατεπήδησεν· Πρωτεσίλαος δὲ φερωνύμως πρῶτός τε τοῦ λαοῦ καθήλατο τῆς νεὼς καὶ πρῶτος τοῦ λαοῦ πέπτωκε, ἑλόμενος οὕτω παθεῖν ἤπερ κατεπτηχότας βλέπειν τοὺς Ἀχαιούς..... 22 sq. γυνὴ δὲ Πρωτεσιλάωι Λαοδάμεια ἡ Ἀκάστου φίλανδρος πάνυ καὶ μὴ ἀνασχομένη ζῆν μετὰ τὸν τοῦ ἀνδρὸς θάνατον, περὶ ἧς λόγος φέρεται τοιοῦτος. Πρωτεσίλαος καὶ μετὰ θάνατον ἐρῶν τῆς γυναικὸς κατά μῆνιν τῆς Ἀφροδίτης ᾐτήσατο τοὺς κάτωθεν ὄντας ἀνελθεῖν, καὶ ἀνελθὼν εὗρεν ἐκείνην ἀγάλματι αὐτοῦ περικειμένην· αἰτήσαντος δέ, φασὶ, μὴ ὑστερεῖν αὐτοῦ ξίφει διεχρήσατο ἑαυτήν· ἕτεροι δὲ ἄλλως φασὶ τὴν Λαοδάμειαν καὶ τεθνεῶτος τοῦ Πρωτεσιλάου ἔρωτι ἐκκαίεσθαι χόλωι Ἀφροδίτης· ἀγγελθέντος γὰρ τοῦ πάθους οὐ μόνον χαλεπῶς ἤνεγκε, φασίν, ἀλλὰ καὶ ἀναγκαζομένη πρὸς τοῦ πατρὸς γάμωι δευτέρωι ζευχθῆναι οὐκ ἀπέστη τοῦ ἐρᾶν, ἀλλὰ κατεχομένη ἐνυκτέρευε μετὰ τοῦ ἀνδρὸς μᾶλλον αἱρουμένη τὴν πρὸς τὸν τεθνεῶτα, φασίν, συνουσίαν ἢ τὴν πρός τοὺς ζῶντας ὁμιλίαν καὶ ἐξέλιπεν ὑπ' ἐπιθυμίας (Eur. Prot.) .. 326₄₋₉ Παλαίφατος δέ (fr. om.), φασίν, ἱστορεῖ ὅτι Αἰνείας ἀνεῖλε τὸν Πρωτεσίλαον. ἕτεροι δὲ ὑπὸ Ἀχάτου αὐτὸν πεσεῖν φασὶν ἑταίρου Αἰνείου. τινὲς δέ Δάρδανον

ἄνδρα' ἐνταῦθα τὸν Ἕκτορα νοοῦσιν, ὅπερ οἱ μὴ ἀποδεχόμενοι[1]) φασὶν ὅτι ἐὰν ὁ Ἕκτωρ ἔρριψε τὸν Πρωτεσίλαον εἶχεν εἰπεῖν ὅτι ‚τὸν ἔκτανε φαίδιμος Ἕκτωρ' ἢ ‚Δάρδανος Ἕκτωρ'. (cf. Hygin. fab. 103, 104; FTG 563; Kiessling. anal. Catull. 8 sq.; Mayer, Herm. XX 101). Quod Theo ipse Demetrii Τρωικὸν διάκοσμον, doctarum copiarum thesaurum minime spernendum, manu versavit (schol. Pind. Ol. V 42, aliis locis: Gaede pagg. 16, 47 = fr. 54, 60 = index I), minime impedit quo minus ei hunc Demetrii locum aliunde innotuisse credamus. Neque enim praeter schol. Lyc. 529 ullum ex omnibus quae per Theonem ad nos pervenisse videntur Demetrii fragmentis pertinet ad ipsas fabulas Troicas: in Lysimachi vero Nostis, quos de fabulis Troicis adire solebat Theo, Demetrii ista sententia, quippe quae non in Homerici loci scriptura modo, sed etiam in ipsa de Protesilai morte fabula versaretur, aptissime potuit apponi. Adde quod Sophocleae Pastorum aliud quoque testimonium debetur Lysimacho (fr. 90).

60 de Diomedis erroribus et morte:

schol. Pind. Nem. X 12 *(Di)*: Διομήδεα δ' ἄμβροτον: καὶ οὗτος Ἀργεῖος, ὃς δι' ἀρετὴν ἀπηθανατίσθη· καὶ ἔστι περὶ τὸν Ἀδρίαν Διομήδεια νῆσος ἱερά, ἐν ἧι τιμᾶται ὡς θεός. καὶ Ἴβυκος οὕτω (fr. 38.... exciderunt et verba Ibyci, et scriptoris petestris nomen: cf. fr. IV)· ‚τὴν Ἑρμιόνην γήμας ὁ Διομήδης ἀπηθανατίσθη σὺν τοῖς Διοσκούροις· καὶ γὰρ συνδιαιτᾶται αὐτοῖς.' καὶ Πολέμων ἱστορεῖ· (fr. 23) ‚ἐν μὲν γὰρ Ἀργυρίπποις ἅγιόν ἐστιν αὐτοῦ ἱερόν· καὶ ἐν Μεταποντίωι δὲ διὰ πολλῆς αὐτὸν αἵρεσθαι τιμῆς ὡς θεόν, καὶ ἐν Θουρίοις εἰκόνας αὐτοῦ καθιδρύσθαι ὡς θεοῦ.'

schol. Lyc. 610 *(Th)*: Τροιζηνίας δὲ τραῦμα: ..... ἡ δὲ Ἀφροδίτη, καθώς φησι Μίμνερμος (fr. 22), ὑπὸ Διομήδους τρωθεῖσα παρεσκεύασε τὴν Αἰγιάλειαν πολλοῖς μὲν μοιχοῖς συγκοιμηθῆναι, ἐρασθῆναι δὲ Ἱππολύτου καὶ Κομήτου υἱοῦ Σθενέλου· τοῦ δὲ Διομήδους παραγενομένου εἰς τὸ Ἄργος ἐπιβουλεῦσαι αὐτῶι· τὸν δὲ φυγόντα εἰς βωμὸν τῆς Ἥρας διὰ νυκτὸς φυγεῖν σὺν τοῖς ἑταίροις καὶ ἐλθεῖν εἰς Ἰταλίαν πρὸς Δαῦνον βασιλέα, ὅστις αὐτὸν δόλωι ἀνεῖλεν.

---

[1]) Verbis οἱ μὴ ἀποδεχόμενοι apte Gaedio (p. 59, n. 94) significari videtur ipse Scepsius: ‚quodsi verum est Theonem parum accurate Demetrii sententiam reddidisse censendum est'. Quamquam gravibus in Homero mutationibus minime abstinuisse Demetrium, e I 447 intellegitur, ubi pro Ἑλλάδα καλλιγύναικα scripsit Ὀρμένιον πολύμηλον.

ibid. 615 *(id):* κολοσσοβάμων: ἁλούσης τῆς Ἰλίου Διομήδης ἀντὶ τοῦ ἕρματος ἐκ τοῦ τείχους τῶν Τρώων λίθους εἰς τὴν ναῦν ἐβάλετο· παραγενόμενος δὲ εἰς τὸ Ἄργος καὶ ἐλαθεὶς ὑπὸ Αἰγιαλείας παρεγένετο εἰς Ἰταλίαν· εὑρὼν δὲ τηνικαῦτα τὸν ἐν τῆι Σκυθίαι δράκοντα λυμαινόμενον τὴν Φαιακίδα διέφθειρε τοῦτον τὴν τοῦ Γλαύκου χρυσῆν ἀσπίδα κατέχων νομίσαντος τοῦ δράκοντος τὸ χρυσοῦν δέρος εἶναι τοῦ κριοῦ· τιμηθεὶς δὲ ἐπὶ τούτωι σφόδρα ἀνδριάντα κατεσκεύασεν καὶ ἱδρύσατο ἐκ τῶν λίθων τῶν ἐκ τῆς Ἰλίου· ἱστορεῖ δὲ τοῦτο Τίμαιος (fr. 13) καὶ Λύκος ἐν τῶι τρίτωι (fr. 3). Cohaerere cum his locis probabile est et schol. Serv. (partim Dan.) ad Aen. VIII 9, et locos de Diomedis sociis in ardeas transformatis, scholl. ad. Lyc. 601 (= Tzetz. 603), E 412, Serv. ad XI 271, Tzetz. Lyc. 592, (cf. Anton. Lib. XXXVII, Eust. ad Dionys. 483).

de Philocteta: 61

schol. Pind. Pyth. I 100 *(Di):* φαντὶ δὲ Λαμνόθεν: ταύτηι τῆι ἱστορίαι καὶ Βακχυλίδης (fr. 16) συμφωνεῖ ἐν τοῖς διθυράμβοις, ὅτι δὴ οἱ Ἕλληνες ἐκ Λήμνου μετεστείλαντο τὸν Φιλοκτήτην Ἑλένου μαντευομένου. εἵμαρτο γὰρ ἄνευ τῶν Ἡρακλείων τόξων μὴ πορθηθῆναι τὴν Ἴλιον. + 109: οὕτω δὴ Ἱέρωνι θεός: (οὕτω δέ, φησί, τῶι Ἱέρωνι ὁ θεὸς ὀρθωτὴρ καὶ ἰατὴρ ἐγένετο, ὡς καὶ τῶι Φιλοκτήτηι). φησὶ γὰρ Διονύσιος (fr. 6) χρησμοῖς Ἀπόλλωνος ἀπολουσάμενον τὸν Φιλοκτήτην ἀφυπνῶσαι, τὸν δὲ Μαχάονα ἀφελόντα τοῦ ἕλκους τὰς διασαπείσας σάρκας καὶ ἐπικλύσαντα οἴνωι τὸ τραῦμα ἐπιπάσαι βοτάνην, ἣν Ἀσκληπιὸς εἰλήφει παρὰ Χείρωνος καὶ οὕτως ὑγιασθῆναι τὸν ἥρωα.

Cuius scholii plenior forma Tzetzae ad Lyc. 911 praesto fuisse videtur: κατά..... Διονύσιον κτλ (v. s.)..... οἳ δέ φασιν ὅτι Χρύση νύμφη τις ἐρασθεῖσα ὤφθη αὐτοῦ ἐκεῖσε, καὶ μὴ πεισθέντος αὐτοῦ συγγενέσθαι αὐτῆι τῆι ταύτης ὀργῆι ὑπὸ τοῦ... ὕδρου ἐδήχθη.

Annoto Serv. Dan. ad Aen. III 402; Serv. ad II 13: *Herculis sagittae, quas misit Philoctetes, quibus Paris interemptus est, cum ipse non potuisset adferre morte praeventus;* de quo loco cfr. Kiessl. ad Hor. c. I 15_{17}.

de Amphilocho: 62

schol. Lyc. 440 *(Th):* αὐτοκτόνοις σφαγαῖσι κτλ: κατὰ δὲ τὸν αὐτὸν καιρὸν ὁ Ἀμφίλοχος ὁ Ἀμφιαράου υἱὸς καὶ Μόψος οἱ μάντεις ἦλθον εἰς Κιλικίαν· μετὰ δὲ ταῦτα ὁ Ἀμφίλοχος βουλόμενος χωρισθῆναι εἰς τὸ Ἄργος παρέθετο τῶι Μόψωι τὴν βασι-

λείαν ἑαυτοῦ κελεύσας φυλάξαι μέχρι ἐνιαυτοῦ ἑνός. πληρουμένου δὲ τοῦ ἐνιαυτοῦ ἦλθεν ὁ Ἀμφίλοχος καὶ οὐ παρεχώρει ὁ Μόψος. διὸ περὶ τούτου πρός ἀλλήλους διαφερόμενοι ὑπ' ἀλλήλων ἀνηιρέθησαν· οὓς θάψαντες οἱ ἐνοικοῦντες πύργον μεταξὺ τῶν τάφων κατεσκεύασαν, ὅπως μηδὲ μετὰ θάνατον ἀλλήλων κοινωνήσωσιν, ὡς καὶ ὁ Εὐφορίων (an. Al. 89)·

Πύραμον ἠχήεντα· πόλιν δ' ἐκτίσσατο Μαλλόν,
ἧς πέρι δῆριν ἔθεντο κακοφράδες ἀλλήλοισιν
Μόψος τ' Ἀμφίλοχός τε· καὶ ἄκριτα δηρινθέντες
μουνὰξ ἀλλίστοιο πύλας ἔβαν Ἀιδονῆος,

63 de Acamante et Laodica:

schol. Lyc. 495 *(Th)*: τόν ποτ' εἰς λέχος λαθραῖον: Διομήδης καὶ Ἀκάμας ὁ Θησέως υἱὸς ἐπρέσβευσαν πρὸς τοὺς Τρῶας καὶ συνέβη Λαοδίκηι τῆι Πριάμου μιγῆναι Ἀκάμαντα καὶ τεκεῖν υἱὸν Μούνιτον κληθέντα· φοβουμένη δὲ δέδωκε τὸ βρέφος Αἴθραι τῆι τοῦ Θησέως μητρὶ ἀνατρέφειν. ἡ δὲ γνοῦσα τοῦ υἱωνοῦ αὐτῆς τὸ παιδίον ἐκόμισε καὶ ἀνέθρεψεν· ἁλούσης δὲ τῆς Τροίας ἀναγνωρισθεῖσα τῶι Ἀκάμαντι ἀπῆιρε μετ' αὐτοῦ κομίζουσα καὶ τὸν Μούνιτον· παραγενομένων δὲ αὐτῶν εἰς Θράικην καὶ ἐξελθόντων ἐν κυνηγεσίαι ὄφις τὸν Μούνιτον ἔτρωσε καὶ οὕτως ἐτελεύτησεν, ὥς φησιν Εὐφορίων (an. Al. 97)·

ἥ οἱ Μούνιτον υἷα τέκε πλομένωι ἐνὶ ὥρωι·
ἀλλά ἑ Σιθονίηι τε καὶ ἐν κνημοῖσιν Ὀλύνθου
ἀγρώσσονθ' ἅμα πατρὶ πελώριος ἔκτανεν ὕδρος[1]).

64 de Palamede:

schol. Or. 432 (aut *d* aut *o*): ἄλλως: τὸν Παλαμήδους θάνατον οἳ μὲν ἐν Γεραιστῶι, οἳ δὲ ἐν Τενέδωι, οἳ δὲ ἐν Κολωναῖς τῆς Τρωιάδος ὑποτίθενται. (φασὶ δὲ αὐτὸν εὑρεῖν φρυκτωρίας καὶ μέτρα καὶ σταθμοὺς καὶ πεττοὺς καὶ γράμματα καὶ φυλακὰς καὶ ἀστραγάλους.)

65 de Elephenore:

schol. Lyc. 1034 *(Th)*: παπποκτόνος κτλ: ..... ἰστέον ὅτι Ὅμηρος τὸν Ἐλεφήνορα ἀναιρεῖ ὑπὸ Ἀγήνορος ἐν δ̄ τῆς Ἰλιάδος (467 sq.)· οὗτος δέ φησι μετὰ τὴν ἅλωσιν πλανηθῆναι αὐτόν.

66 de Lycomeda Merionis socio:

schol. T 240 T *(qh)*: Κρὴς ὁ Λυκομήδης, ὥς φησιν Ἡσίοδος (fr. 118) καταλέγων τοὺς μνηστῆρας Ἑλένης.

---

[1]) Inde ab ὥς φησιν Εὐφορίων quae leguntur, servavit Tzetzes. De Euphorionis loco cf. Kaibel, Herm. XXII 507.

de Idomeneo: 67

Serv. Dan. Aen. III 401: *Lyctius Idomeneus: . . . . ad Italiam venisse ac post dicitur in Asiam profectus decessisse; alii hunc regressum consedisse apud Apollinem Clarium tradunt.*

de Podalirio Machaoneque: 68

schol. Λ 515 T (*Aa*, cf. schol. cod. A): ἰούς τ' ἐκτάμνειν: (ἐμείωσέ φασι τὸν ἔπαινον κτλ. . . . . (a) οἱ μὲν οὖν φασιν ὅτι κτλ . . . . (b) ἔνιοι δέ φασιν ὡς οὐδὲ ἐπὶ πάντας τοὺς ἰατροὺς ὁ ἔπαινος οὗτός ἐστι κοινός, ἀλλὰ ἐπὶ τὸν Μαχάονα, ὃν μόνον χειρουργεῖν τινες λέγουσι — τὸν γὰρ Ποδαλείριον διαιτᾶσθαι νόσους — καὶ τεκμήριον τούτου· Ἀγαμέμνων τρωθέντος Μενελάου οὐκ ἄμφω ἐπὶ τὴν θεραπείαν καλεῖ ἀλλὰ τὸν Μαχάονα (Δ 193)). τοῦτο ἔοικε καὶ Ἀρκτῖνος ἐν Ἰλίου πορθήσει νομίζειν, ἐν οἷς φησιν (Ki. 35)·

αὐτὸς γάρ σφιν ἔδωκε πατὴρ ⟨γέρας sive κλυτὸς⟩ Ἐννοσίγαιος
ἀμφοτέροις, ἕτερον δ' ἑτέρου κυδίον' ἔθηκε·
τῶι μὲν κουφοτέρας χεῖρας πόρεν ἔκ τε βέλεμνα
σαρκὸς ἑλεῖν τμῆξαί τε καὶ ἕλκεα πάντ' ἀκέσασθαι,
τῶι δ' ἄρ' ἀκριβέα πάντα ἐνὶ στήθεσσιν ἔθηκεν
ἄσκοπά τε γνῶναι καὶ ἀναλθέα ἰάσασθαι·
ὅς ρα καὶ Αἴαντος πρῶτος μάθε χωομένοιο
ὄμματά τ' ἀστράπτοντα βαρυνόμενόν τε νόημα.

Arctini nomen ipsius grammatici doctrinae tribuendum est.

de Cinyra socio Graecorum infido: 69

schol. Λ 20 T (*nescio cuius gramm.*): τόν ποτέ οἱ Κινύρης: . . . . . φασὶ δὲ αὐτὸν ἐν Πάφωι ὀμόσαντα Μενελάωι πέμψειν πεντηκόντα ναῦς μίαν πέμψαι, τὰς δὲ λοιπὰς ἐκ γῆς καὶ γηίνους ἄνδρας.

de Rheso: (70)

memoranda sunt scholia ad K 435: ἐν δέ σφιν Ῥῆσος..... (citatur Pindari fr. 262), Serv. Dan. ad Aen. I 469: *nec procul hinc Rhesus: Rhesus . . . . . ut quidam tradunt Martis, ut alii Hebri* eqs; quae etiam ex Apollodori π. θεῶν opere fluxisse posse demonstrat schol. Rhes. 346, ubi ipse Apollodorus advocatur.

de Sarpedone: (71)

schol. Rhes. 29 (aut *o* aut *d*): ἢ τὸν Εὐρώπας Λυκίων ἀγὸν ἀνδρῶν: παρ' Ὅμηρον (Z 199) ἱστορεῖ Εὐρώπης εἶναι τὸν Σαρπηδόνα. ὁ δὲ Ἡσίοδος (fr. 55) Εὐρώπης μέν φησιν αὐτὸν * * ὡς Ἑλλάνικος. εἰσὶ δὲ οἳ Λυκάστου καὶ Ἴδης τῆς

Κορύβαντος γενεαλογοῦσι μετὰ καὶ Μίνωος καὶ Ῥαδαμάνθυος, καθάπερ Σωκράτης ἐν τοῖς Ἀργολικοῖς (fr. 3a). ἔχει δὲ ὁ λόγος τὸ ἕτερον εἶναι Σαρπηδόνα τὸν ἐπὶ τὴν Ἴλιον στρατεύσαντα καὶ ἄλλον τινὰ Θρᾶικα, ἀφ' οὗ Σαρπηδονίαν πέτραν φασὶν ὠνομάσθαι.... sequitur doctum de Europis variis scholium ex Apionis περὶ ἐπωνύμων opere haustum; quod an fluxerit quoscunque per rivulos e Thebanis paradoxis — id quod equidem credo — nunc longum est disceptare. Apioni autem ut potest de Sarpedone notae extrema pars ἔχει δὲ.... ὠνομάσθαι tribui, ita quae antecedunt Hesiodi Hellanici Socratis testimonia ab eo abhorrent: itaque haec grammaticum huius partis auctorem Nostis debere censeo. Cui opinioni opitulari videtur

schol. M 292 T (*Aa?* v. i.): εἰ μὴ υἱὸν ἐὸν Σαρπηδόνα... Ζεύς: .... Ἡσίοδος δὲ Εὐρώπης καὶ Διὸς αὐτόν φησιν. Quod scholium cohaerere suspicor cum scholiis BT ad Z 198/99: quae scholia demonstrant, cum Aristarchus (cf. Ariston. ad 199) νεωτέρων dissensum simpliciter respueret, exstitisse qui Homeri posteriorumque sententias artificiose conciliare studeret *(Aristarchi adversarius).*

Θηβαικῶν παραδόξων συναγωγή.

72 de Nioba et Niobidis:

schol. Phoen. 159 (*o*, κριτικός non ἐνστατικός): ἐκεῖνος ἑπτὰ παρθένων τάφου πέλας Νιόβης κτλ: καὶ Σοφοκλῆς ἐν Νιόβηι (N. 228) ἑπτά φησιν αὐτὰς εἶναι καὶ ἑπτὰ τοὺς ἄρρενας. ἄλλως. (I) ὁ Ἀριστόδημος (fr. 3) οὐδαμοῦ φησιν ἐν ταῖς Θήβαις τῶν Νιοβιδῶν εἶναι τάφον, (ὅπερ ἐστὶν ἀληθές, ὡς αὐτοσχεδιάζειν νῦν ἔοικεν ὁ Εὐριπίδης). (II) περὶ δὲ τοῦ πλήθους τῶν Νιοβιδῶν αὐτός φησιν ὁ Εὐριπίδης ἐν Κρεσφόντηι (fr. 455). ‚καὶ δὶς ἕπτ' αὐτῆς τέκνα Νιόβης θανόντα Λοξίου τοξεύμασιν'. ὁμοίως καὶ Αἰσχύλος ἐν Νιόβηι (N. 50) καὶ Ἀριστοφάνης ἐν Δράμασιν ἢ Νιόβωι (fr. 284). Τιμαγόρας δὲ ἐν τοῖς Θηβαικοῖς (fr. 3) φησιν ὡς κακῶς πάσχοντες ὑπὸ τῶν περὶ Ἀμφίονα οἱ Σπαρτοὶ ἀνεῖλον αὐτοὺς λοχήσαντες ἀπιόντας εἰς Ἐλευθερὰς ἐπὶ πάτριον θυσίαν, τὴν δὲ Νιόβην εἴασαν ζῆν διὰ Πέλοπα. Φερεκύδης δέ (fr. 102b) φησιν ἔχειν αὐτὴν παῖδας ἓξ Ἀλαλκομενέα Φηρέα Εὔδωρον Λύσιππον Ξάνθον Ἀργεῖον, θυγατέρας δὲ ἓξ Χιόνην Κλυτίαν Μελίαν Νέαιραν Δαμασίππην Πελοπίαν. Ἑλλάνικος (fr. 54) δὲ ἐν τῆι ἐπιγραφομένηι Ἀτλαντίδι ἄρσενας τέσσαράς φησιν Ἀρχήνορα Μενέστρατον Ἀρχαγόραν * * *, θυγατέρας δὲ τρεῖς Πελοπίαν Ὠγυγίαν Ἀστυκράτειαν. Ξάνθος δὲ ὁ Λυδὸς

(fr. 13) δέκα καὶ δέκα ἐκ Φιλόττου τοῦ Ἀσσυρίου, ὃς ὤικει ἐν Σιπύλωι, ὃς ἀνῃρέθη ἐν κυνηγεσίωι ὑπὸ ἄρκτου. Scholii ἄλλως altera pars (II) et ratione et doctrina similis est Lysimachi fragmento decimo: hoc de Herculis Megaraeque liberorum, illo de Niobidarum n e c e n u m e r o q u e varia proponuntur testimonia. Quae ex Aristodemi (I) Aristarchei [1]) docto Θηβαικὰ ἐπιγράμματα quod inscribebatur opere decerpta esse minime est probabile. Immo vero unam, quam ad eum revocare dubitanter conatus sis, Timagorae de Niobidarum n e c e sententiam, ea ipsa Lysimacho, cui eiusdem Timagorae de Spartis testimonium debetur schol. Phoen. 670 allatum, (fr. 5), iure meritoque tribuitur: unum enim praeter duo ea (scholl. Phoen. 156, 670) Timagorae frustum aetatem tulit, St. Byz. Σπάρτη, item in Spartis versans. Ac ne reliqua quidem testimonia, quae ex eodem sine dubio ac Timagorae narratio fonte hausta sunt, ad A r i s t o d e m u m certa de causa referri possunt; de quibus vero fabulis Aristodemus egit, easdem ipse quoque omnes tractavit L y s i m a c h u s, quem fabularum Thebanarum a m p l i s s i m u m iam aestimabimus collectorem. Itaque scholii ἄλλως altera pars (II) cum certe u n u m Lysimachi videatur prodere vestigium, Aristodemi n e u n u m q u i d e m, iam Lysimacho vindicanda est; neque adiungere prius scholium (Soph.) dubito. — Restat ipsius Aristodemi testimonium. Quod ex ipsa eius epigrammatum sylloga esse repetitum fortasse sumes, quamquam hanc ab ipsis grammaticis scholiorum Phoen. auctoribus esse inspectam nullo cognoscitur indicio: equidem etiam hanc per Lysimachum grammaticis innotuisse credo eo nisus argumento, quod et ob aetatem et ob rationem Aristodemi sententiae a Lysimacho in variarum discrepantiarum corpus congeri non minus quam Demetrii Scepsii potuerunt (pag. 70). Nam cum Aristodemus non meram fabularum Thebanarum collectionem compararet sed eas ex epigrammatum fide auctoritateque examinaret, minime suos ipsius procul habebat de singulis fabulis sententias.

schol. Ω 602 T (*As* ut videtur, cf. schol. Ariston. ad vs. 604 A): καὶ γάρ τ' ἠ ΰ κ ο μ ο ς Νιόβη κτλ: τὴν Νιόβην οἱ μὲν Πέλοπος, οἱ δὲ Ταντάλου· γυναῖκα δὲ οἱ μὲν Ἀμφίονος, οἱ δὲ Ζήθου, οἱ δὲ Ἀλαλκομενέως. ἐκαλεῖτο δὲ παρὰ Λυδοῖς Ἐλύμην (Ἐλυμήνη Wil.). ἡ δὲ συμφορὰ αὐτῆς, ὡ ς μ έ ν τ ι ν ε ς ἐν Λυδίαι, ὡ ς δ ὲ ἔ ν ι ο ι ἐν Θήβαις. Σ ο φ ο κ λ ῆ ς δὲ τοὺς μὲν παῖδας ἐν Θήβαις

---

[1]) De eo ad Wilamowitzii curas (Hom. Unt. 360, Hermae XXVI 191 ‚d. sieb. Thore Theb.') pauca videntur addi posse: quod ad aliam occasionem differo.

ἀπολέσθαι, νοστῆσαι δὲ αὐτὴν εἰς Λυδίαν. ἀπώλετο δέ, ὥς τινες, συνεπιορκήσασα Πανδάρωι περὶ τοῦ κυνός, ὡς δὲ ἔνιοι, ἐνεδρευθεῖσα ὑπὸ τῶν Σπαρτῶν ἐν Κιθαιρῶνι. οἱ δὲ δύο Νιόβας Πέλοπος καὶ Ταντάλου[1]).

schol. Ω 613 T *(v. s.)*: ἡ δ' ἄρα σίτου μνήσατο: (οὐκ ἄρα ἐλιθώθη καθ' Ὅμηρον)· Λυδοὶ δέ φασιν ὅτι Ἀσσωνίδης ἐρασθεὶς αὐτῆς καὶ μὴ πεισθείσης ἐπ' ἄριστον τοὺς παῖδας καλέσας ἐνέπρησεν· ἡ δὲ φεύγουσα ηὔξατο λιθωθῆναι·[2]) ⟨καὶ ἐλιθώθη: B, Eust.⟩. τινὲς δὲ εἰς κρύσταλλον αὐτὴν μεταβεβλῆσθαί φασιν.

schol. Ω 617 T *(v. s.)*: κήδεα πέσσει: (ἀκύρως· πῶς γὰρ ἡ λίθος ‚πέσσει';) καὶ ὡς Φιλήμων ὁ κωμικὸς (fr. 101 K)

ἐγὼ λίθον μὲν τὴν Νιόβην, μὰ τοὺς θεούς,
οὐδέποτ' ἐπείσθην, οὐδὲ νῦν πεισθήσομαι,
ὡς τοῦτ' ἐγένετ' ἄνθρωπος· ὑπὸ δὲ τῶν κακῶν
τῶν συμπεσόντων τοῦ τε συμβάντος πάθους
οὐδὲν λαλῆσαι δυναμένη πρὸς οὐδένα
προσηγορεύθη διὰ τὸ μὴ φωνεῖν λίθος.

Φερεκύδης δὲ ἐν η̄ (IV 639) ‚ἡ δὲ Νιόβη ὑπὸ τοῦ ἄχεος ἀναχωρεῖ εἰς Σίπυλον καὶ ὁρᾶι τὴν πόλιν ἀνεστραμμένην καὶ Ταντάλωι λίθον ἐπικρεμάμενον· ἀρᾶται δὲ τῶι Διὶ λίθος γενέσθαι· ῥεῖ δὲ ἐξ αὐτῆς δάκρυα καὶ πρὸς ἄρκτον ὁρᾶι.'

Addo denique Aelian. v. h. XII 36: Ἐοίκασιν οἱ ἀρχαῖοι ὑπὲρ τοῦ ἀριθμοῦ τῶν τῆς Νιόβης παίδων μὴ συνάιδειν ἀλλήλοις· Ὅμηρος μὲν ἓξ λέγει ἄρρενας καὶ τοσαύτας κόρας (Ω 604), Λᾶσος δὲ δὶς ἑπτὰ λέγει (fr. 2), Ἡσίοδος δὲ (fr. 61) ἐννέα καὶ δέκα, εἰ μὴ ἄρα οὐκ εἰσὶν Ἡσιόδου τὰ ἔπη, ἀλλ' ὡς πολλὰ καὶ ἄλλα

---

[1]) Verba τὴν Νιόβην — Ἀλαλκομενέως et ἡ δὲ συμφορὰ — Λυδίαν minus accurate praebet etiam cod. B. De Pandaro vel potius Pandareo cf. Paus X 30_2, scholl. τ 518, υ 66; Ant. Lib. 11. Nomen Niobae Lydium (Ἐλύμην) a Xantho esse traditum facile credes. Quae in fine leguntur: οἱ δὲ δύο Νιόβας κτλ docere videntur mythographum etiam de variis quae uno nomine utebantur personis, sicubi argumentum ferebat, pauca annotasse; id quod per se facile est suspicatu. Eius autem generis quod est schol. ad Rhes. 29 (de variis Europis), de eo pag. 74 breviter monuimus.

[2]) Eadem minus accurate cod. B ad 617: ὁ δὲ Λυδός φησιν κτλ; cf. etiam Eust. ad eund. vs.: Xanthum significari comprobat Parthenii narr. 33.

κατέψευσται αὐτοῦ (fr. 61), Ἀλκμὰν δέκα φησί (fr. 109), Μίμνερμος εἴκοσι (fr. 19), καὶ Πίνδαρος τοσούτους (fr. 64, 65);

Gell. n. a. XX 7: *Mira et prope adeo ridicula diversitas fabulae apud* ***Graecos poetas*** *deprenditur super numero Niobae filiorum. Nam* ***Homerus*** *pueros puellasque eius bis senos dicit fuisse,* ***Euripides*** *bis septenos,* ***Sappho*** *bis novenos* (fr. 143), ***Bacchylides*** (fr. 63) *et* ***Pindarus*** *bis denos:* ***quidam alii scriptores*** *tres fuisse solos dixerunt*;

schol. Stat. Theb. VI 124 (cf. pag. 49): *Quo geminis Niobe consumpta pharetris: id est Apollinis et Dianae. Niobe secundum* ***Homerum*** duodecim filios habuit, ***Sophocles*** *autem dicit eam quattuordecim habuisse.*

Teneri tres unius eiusdemque laterculi partes paene certum est; quid quod ipsa testimonii Hesiodei forma quam Aelianus praebet (ἐννέα καὶ δέκα) exemplar et Aeliano et Gellio commune videtur monstrare? nam si Apollodorus 90₁₈, verum tradit: Ἡσίοδος δὲ δέκα μὲν υἱοὺς, δέκα δὲ θυγατέρας, suspicari licet Aelianum Sapphus (δὶς ἐννέα cf. Gell.) Hesiodique (δὶς δέκα cf. Apoll.) sententias neglegenter inter se contaminasse in fonte suo deinceps enumeratas.

Pristinum igitur catalogum recuperamus huncce:

Homerus	VI + VI,
Sophocles Euripides Lasus	VII + VII,
Sappho	IX + IX,
[Alcman	X],
Hesiodus Mimnermus Bacchylides Pindarus	X + X.

Atque primum quidem eum ordinem valere in hoc catalogo cernimus quem observavit his in rebus ipse Lysimachus (fr. X); cui ordini quod non respondet Alcmanis testimonium, potest illud aut corruptum aut inepte collocatum esse ab Aeliano neglegenti. Deinde quae ad Hesiodi (sc. catalogi mulierum) locum adiecta sunt verba εἰ μὴ ἄρα κτλ, ea item bene quadrant ad indolem Lysimachi qui talia accurate annotare solebat (cf. fr. 82 al.). Tum locus Gellianus duplici cum scholii Phoen. altera parte vinculo cohaeret, et quod utroque loco Euripides advocatur, et quod qui extremo loco memorantur ‚*quidam alii scriptores*' (pedestres ni fallor) non multum abhorrent ab Hellanico in scholio Phoen. allato. Denique Sophocles in scholiis et Phoen. et Stat. citatur. Itaque si quidem scholia et ad Phoen. et ad Ω Lysimachea sunt, indidem fluxerunt quoscunque per rivulos Gellii Aelianique panni.

73 de Zetho et Amphione:

a) de muro portisque ab eis exstructis: enumeramus Aristodemi reliquias scholiis Phoen. (aut *d* aut *o*) servatas quas Lysimacho deberi opinamur:

scholl.	Phoen.	1119	de	porta	Homoloa,
»	»	1113	»	»	Ogygia,
»	»	1104	»	»	Neïta,
»	»	1109	»	»	Proetide,
»	»	1129	»	»	Electra;

b) de eorum sepulcro:

schol. Phoen. 145 *(v. s.)*: ἀμφὶ μνῆμα τοῦ Ζήθου: .... ἄλλως. (κοινὸς μὲν ἀμφοῖν ὁ τάφος Ζήθου καὶ Ἀμφίονος, συλληπτικῶς δὲ εἶπεν). τινὲς δέ φασι τὸν Ἀμφίονα πρὸς ταῖς Προιτίσι * * * (quod schol. item pro Aristodemeae disputationis frusto haberi potest).

74 de Polydoro Cadmi filio:

schol. Phoen. 8 (aut *d* aut *o*): Πολύδωρον: τοῦτον οἱ ποιηταὶ † ΠΙΝΑΚΟΝ καλοῦσι, Πολύδωρον δὲ διὰ τὸ πολλὰ δῶρα εἰληφέναι τὴν μητέρα αὐτοῦ ἐπὶ τῆι γεννήσει αὐτοῦ: ubi duorum unius eiusdemque Cadmei filii nominum (alterius ab altero teste proditi) notionem latere docet locus ex ipso scholio Phoen. decerptus:

schol. Hes. Theog. 975: Κάδμωι δ' Ἁρμονίη: ἡ δὲ ἡρμοσμένη τῶι Κάδμωι ἐγέννησεν Ἰνὼ Σεμέλην καὶ Ἀγαυὴν καὶ Πολύδωρον· ὃν καὶ † ΠΙΝΑΚΑ ἔνιοι καλοῦσιν. εἴρηται δὲ Πολύδωρος, ὅτι ἐν τῶι γάμωι τοῦ Κάδμου καὶ τῆς Ἁρμονίας οἱ θεοὶ δωρεὰς ἐπορίσαντο. (Πίνακον vel Πίνακα quid sibi velit non patet: schol. Phoen. etiam magis turbatum esse ex inepta oppositione τοῦτον οἱ ποιηταὶ . . ., Πολ. δὲ colligit Kaibel).

75 de Creonte:

schol. Soph. Antig. 1180 *(Di)*: Εὐρυδίκην: Ἡσίοδος (Scut. 83) Ἡνιόχην αὐτὴν καλεῖ·

ἵκετο δ' ἐς Κρείοντα καὶ Ἡνιόχην.

76 de Menoecei Creontis filii morte:

schol. Phoen. 1010 (aut *d* aut *o*): σφάξας ἐμαυτὸν: Σωσιφάνης (fr. 4) ὁ τραγικὸς ὑπὸ τοῦ Λαίου φησὶ τεθνηκέναι τὸν Μενοικέα· Νικόστρατος (IV 466) δὲ ὑπὸ τῆς Σφιγγός.

77 de Tlepolemo, Herculis filio:

schol. Pind. Ol. VII 42 *(Di)*[1]: Ἀστυδαμείας· Ὅμηρος (B 658) ταύτην Ἀστυόχην φησίν, οὐκ Ἀστυδάμειαν. (εἰκὸς δὲ τὸν Πίν-

[1]) Eo quod praecedit scholio quoniam praeter Pindari ab Homero dissensum ex Acusilao Pindarum pendere (fr. 26) annotatur, potes Asclepiadem qui

δαρον ἀπαντῆσαι ταύτηι τῆι γραφῆι· "Ον τέκεν Ἀστυδάμεια (pro eo quod vulgo legitur Ἀστυόχεια) βίηι Ἡρακληείηι.) καὶ Ἡσίοδος (fr. 134) δὲ Ἀστυδάμειαν αὐτήν φησιν· Φερεκύδης (fr. 37a) δὲ Ἀστυγένειαν, ἣν δὲ Φύλαντος θυγάτηρ. τινὲς δὲ ἐξ Ἀντιγόνης αὐτῶι Τληπόλεμόν φασιν. (ἐνταῦθα δὲ Ἀμύντορος αὐτήν φησιν ὁ Πίνδαρος, ὅτι κτλ: ipsius gramm. interpretatio)

de Euryti filiis (cf. fr. XV, X): 79

schol. Trach. 266 *(Di):* τῶν ὧν τέκνων λίποιτο: τοῦτο ἰδίως. οὐ γὰρ ἠλαζονεύσατο μόνον περὶ τῶν παίδων ἑαυτοῦ, ἀλλὰ καὶ δῶρον τοξείας προθεὶς τὴν Ἰόλην νικήσαντι Ἡρακλεῖ οὐκ ἠγγύησεν (cf. Herodorum ap. Lysim.). διαφωνεῖται δὲ ὁ τῶν Εὐρυτιδῶν ἀριθμός. Ἡσίοδος μὲν γὰρ δ̄ φησίν ἐξ Εὐρύτου καὶ Ἀντιόχης παῖδας οὕτως (fr. 135)·

ἣ δ' ὑποκυσαμένη καλλίζωνος Στρατονίκη
Εὔρυτον ἐν μεγάροισιν ἐγείνατο φίλτατον υἱόν.
τοῦ δ' υἱεῖς ἐγένοντο † Δηίων[1]) τε Κλυτίος τε
Τοξεύς τ' ἀντίθεος ἠδ' Ἴφιτος ὄζος Ἄρηος·
τοὺς δὲ μεθ' ὁπλοτάτην τέκετο ξανθὴν Ἰόλειαν
Ἀντιόχη κρείουσα † παλαιὸν γένος Ναυβολίδαο[2]).

Κρεώφυλος δὲ (fr. 3) β̄, Ἀριστοκράτης δὲ (fr. 6: IV 333) γ̄, Τοξέα Κλύτιον Δηίονα.

de Hercule Omphalae servo: 80

schol. Soph. Trach. 253 *(Di):* ἐνιαυτόν: ὁ Ἡρόδωρος (fr. 26) γ̄ ἔτη λέγει.

---

scholio ad Ol. VI 26, aliis scholiis de Pindari fontibus egit, pro eius scholii auctore habere; quamquam et ipsos grammaticos posteriores doctorum compendiorum ope instructos tales quaestiones instituisse scimus (ex. gr. fr. XII, XVIII). — Ipse vero Asclepiades, si quidem idem est atque qui in scholiis Apollonianis occurrit (Bethe q D m 93) Myrleanus Pompeii aequalis, utrum compendia an ipsos auctores evolverit nescio. — Ceterum etiam de Licymnio ab Tlepolemo necato quae docte agunt, huc spectant 78 scholia ad vers. 49 (vetus): καὶ γὰρ Ἀλκμήνας: . . . . docet scholiasta ex historia fabulari, Licymnius cur νόθος ἀδελφὸς Ἀλκμήνης dicatur, tum haec: αἰτία δὲ τῆς ἀναιρέσεως ἐγένετο περί τινων τιμῶν· οἳ δὲ περὶ Δεινίαν (fr. 6) καὶ Δέρκυλον (fr. 2) φασιν ἀκούσιον τὸν φόνον γενέσθαι. ad vers. 46 (rec.): ἱστορία ὅπως ἐν Ῥόδωι κτλ . . . . οἳ δέ φασιν ὅτι βοῦν πλῆξαι θέλων καὶ ῥάβδον πόρρωθεν ῥίψας ἀποτυχὼν ταύτης βάλλει Λικύμνιον καὶ ἀναιρεῖ.

[1]) Μολίων Hermannus: τοῦ δ' ἐγένονθ' υἱεῖς Δηίων Kaibel.

[2]) Πύλωνος Ναυβολίδαο Bentleius: παλαιοῦ Ναυβολίδαο Hermannus.

IV.

In quarta quoque quam statuimus classe priorem locum eis scholiis assignamus, quae proba de causa ad Νόστους revocare nobis videmur.

Nam cum de Achillis Neoptolemique atque Ulixis non solum rebus Troicis sed etiam de tota familia — de eorum liberis avis proavis et q. s. r. — egisse Lysimachum e fr. I: III/IV, V: XVI effecerimus (pag. 24), eae quas hucusque secuti sumus rationes flagitant, ut etiam in reliquis heroibus eandem doctrinam diligentiamque positam esse ab eo sumamus, eamque et in Graecis et in Troianis (cf. fr. IX, VII, XII, XVII, XVIII, et pag. 21 sq).

Primum igitur enumeremus ea, quae e Troianae historiae fabularis antehomericae enarratione videntur reliqua esse: eam autem aptissime primi libri illi parti, qua urbis expugnationem exposuit, praemittere potuit Lysimachus.

81 de Trois familia:

schol. Υ 231 T *(Pp):* Τρωός....τρεῖς παῖδες...ἐξεγένοντο Ἶλός τ' Ἀσσάρακος τε καὶ . . . . Γανυμήδης: Τρωὸς καὶ Καλλιρόης τῆς Σκαμάνδρου, ὡς Ἑλλάνικος (fr. om.).

82 de Ganymede:

ibid. 234 *(id):* τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχεύειν: Μνασέας μέν (fr. 30) φησιν ὑπὸ Ταντάλου ἡρπάσθαι καὶ ἐν κυνηγεσίωι πεσόντα ταφῆναι ἐν τῶι Μυσίωι Ὀλύμπωι κατὰ τὸ ἱερὸν τοῦ Ὀλυμπίου Διός, Δωσιάδης δὲ (fr. 3a) ἡρπάσθαι ὑπὸ Μίνω· καὶ ὁ λιμὴν ὅθεν ἡρπάσθη Ἁρπάγια καλεῖται. οἱ δὲ Μίνωος ἀξιοῦντος μιγῆναι κατακρημνίσαι ἑαυτόν, τὸν δὲ θάψαι καὶ πλάσασθαι τῶι πατρὶ ὡς θύελλα καὶ νέφος ἥρπασεν αὐτὸν εἰς οὐρανόν· οἱ δὲ μετὰ κυνηγεσίαν ἀφυπνώσαντα διασπαραχθῆναι ὑπὸ θηρῶν, οἱ δὲ κεραυνωθῆναι.

schol. Troad. 822 (*d* ut videtur): Λαομεδόντιε παῖ: τὸν Γανυμήδην καθ' Ὅμηρον (Ε 264, Υ 231) Τρωὸς ὄντα παῖδα Λαομέδοντος νῦν εἶπεν ἀκολουθήσας τῶι τὴν μικρὰν Ἰλιάδα πεποιηκότι, ὃν οἱ μὲν Θεστορίδην Φωκαιέα φασίν, οἱ δὲ Κιναίθωνα Λακεδαιμόνιον ὡς Ἑλλάνικος (fr. om.), οἱ δὲ Διόδωρον Ἐρυθραῖον[1])· φησὶ δὲ οὕτως (fr. 6)·

---

[1]) Doctam illam annotationem non ipsi scholiastae *(d)* sed eius auctori doctissimo (Lysimacho) tribuendam esse facile concedes; conf.

ἄμπελον ἣν Κρονίδης ἔπορεν οὗ παιδὸς ἄποινα
χρυσείοις φύλλοισιν † ἀγανοῖσιν (παναργυρέοις Hermann) κομόωσαν
βότρυσί θ' οὓς Ἥφαιστος ἐπασκήσας Διὶ πατρὶ
δῶχ', ὁ δὲ Λαομέδοντι πόρεν Γανυμήδεος ἀντί.

καὶ Ἀντιφάνης (fr. 73) Λαομέδοντος παῖδα τὸν Γανυμήδην φησί· ‚διὰ τὰς τῶν οἰκιῶν * * * ὁρᾶις; ἐν τῆιδε μὲν ὁ τῶν Φρυγῶν τύραννος οἰκῶν τυγχάνει γέρων, ἀπ' ἀρχῆς Λαομέδων καλούμενος' (exciderunt reliqua). versus Iliadis minoris leguntur ex hoc schol. descripta ad Orest. 1391 Γανυμήδεος ἱπποσύνα: .... τινὲς δὲ οὐχ ἵππους ἀλλὰ χρυσῆν ἄμπελόν φασι δεδόσθαι ὑπὲρ Γανυμήδους, καθάπερ ἐν κύκλωι λέγεται κτλ ....[1])

de Assaraci familia: 83

schol. Υ 239 T *(Pp):* Ἀσσάρακος δὲ Κάπυν· ὁ δ' ἄρ' Ἀγχίσην τέκε: ἐξ Ἐρυθείας τῆς Ἴλου.

de Ilo Ilii conditore: 84

schol. Lyc. 29 *(Th):* Ἄτης ἀπ' ἄκρων: Ἄτης λόφος ἐκαλεῖτο πρότερον ἡ Ἴλιος· φησὶ δὲ περὶ τούτου τοῦ τόπου Ἑλλάνικος ἐν α̅ Τρωικῶν (fr. om.)· ὅτι μαντευομένωι ἐν Πριήπωι τῆς Φρυγίας τῶι Ἴλωι ἔχρησεν ὁ Πριηπαῖος Ἀπόλλων μὴ κτίζειν τὸν λόφον τοῦτον· Ἄτης γὰρ αὐτὸν ἔφη εἶναι. διὸ καὶ Δάρδανος αὐτὸν οὐκ ἔκτισεν ἀλλὰ τὴν ὑπὸ τὴν Ἴδην Δαρδανίαν καλουμένην· ἐκαλεῖτο δὲ τὸ πρότερον Σκάμανδρος οὗτος ὁ λόφος. βουπλανοκτίστων: Λήσσης[2]) ὁ Λαμψακηνός φησιν ὅτι Ἴλου ἐν τῆι Μυσίαι νέμοντος βοῦς μία ἀποσκιρτήσασα ἔφυγε, τὸν δὲ διώκοντα ἐλθεῖν εἰς τὴν Ἴλιον.

de Ili familia: 85

schol. Υ 236 T *(Pp):* Ἶλος δ' αὖ τέκεθ' υἱὸν .... Λαομέδοντα: ἐξ Εὐρυδίκης τῆς Ἀδράστου. τέκεθ' υἱόν: ἐκ Βατείας τῆς Τεύκρου, ὡς Ἑλλάνικος (fr. om.).

de Ilii muris: 86

scholl. Φ 444 *(qh):* οὐδέ νυ τῶνπερ μέμνηαι, ὅσα δὴ πάθομεν κακὰ Ἴλιον ἄμφι μοῦνοι νῶϊ θεῶν, ὅτ' ἀγήνορι

---

etiam pagg. 19/20, 64. Iam cum non unoquoque sed uno loco — nempe eo quo prima eius carminis mentio oblata est Lysimacho — talia annotata fuisse per se stet, inde confirmatur res Troianas antehomericas in Νόστων primi libri parte priore fuisse tractatas.

[1]) Eorundem versuum ratio habetur etiam in scholio ad λ 521 *(q h)*, cf. Schwartz 421.

[2]) Dubito, utrum Λήσσης cum nomine Λᾶσσος (Q. Sm. VI 469) sive Λᾶσος cohaereat an corruptum sit: Λυσίας Tzetz. codd. Viteb. I Ciz.

Λαομέδοντι πὰρ Διὸς ἐλθόντες θητεύσαμεν κτλ (verba sunt Neptuni cum Apolline colloquentis):

codd. Ven. (A) B, Townl.:	cod. Genab. 44 (Nicole):
	ἐπὶ μισθῶι ἐδουλεύσαμεν. Ζητεῖται διὰ τί ἐθήτευσαν.
a) ἠθέλησαν γὰρ συνδῆσαι τὸν Δία ‛Ποσειδάων καὶ Φοῖβος Ἀπόλλων’ (Α 400).	
b) οἱ δὲ ἐπὶ τῶι πειρᾶσθαι τὴν ὕβριν Λαομέδοντος· (‛καί τε θεοὶ ξείνοισιν ἐοικότες’ (ρ 485)· ὡς ἀποθανόντος οὖν <τοῦ> αἰτίου τιμώμενος νῦν ἐν Ἰλίωι Κίλληι Χρύσηι Τενέδωι βοηθεῖ αὐτοῖς.)	b) Ἑλλάνικός (fr. ined.) φησι πειράζοντες Λαομέδοντα. γράφει δὲ ἐν ᾱ τῶν Τρωικῶν· Μετὰ δὲ ταῦτα λέγεται Ποσειδῶ καὶ Ἀπόλλωνα δουλεῦσαι Λαομέδοντι ὅτι ὑβριστὴς ἦν. πειρώμενοι οὖν ἀνδράσιν εἰδόμενοι ἐπὶ μισθῶι, εἴτε ἄρα ἀποδώσει εἴτε καὶ οὔ, τεῖχος λάϊνον ἐν τῶι Ἰλίωι ἐπ’ ἀκροτάτου τῶν κολωνῶν ἐτείχισαν, ὅ τι νῦν Πέργαμος καλεῖται.’
c) οἱ δέ φασιν ἐργασαμένους ἀμισθὶ ἀναθεῖναι Ἀπόλλωνι καὶ Ποσειδῶνι.	c) Μητρόδωρος ἐν Τρωικοῖς (fr. novum; praeter hoc scholium Metrodori Chii Τρωικὰ memorat unus Athenaeus IV 184: FHG III 205)· ‛Μετὰ ταῦτα λέγουσι παρ’ αὐτὸν ἀφικέσθαι δύο ἄνδρας, ὁπόθεν μὲν καὶ οἵτινες οὐδεὶς ἔχει εἰπεῖν ἀτρεκέως, ἐλθόντας δὲ εἰπεῖν ὅτι Λαομέδοντι χρὴ ἀνδρὶ βασιλεῖ εἶναι ἀκρόπολιν ἐν τῆι πόλει ἐν ἧι αὐτὸν οἰκεῖν πρέποι· ἡμεῖς οὖν σοὶ θέλομεν τειχίον κτίσαι καὶ ἐπιστατῆσαι (exciderunt reliqua Metrodori verba; cf. schol. codd. ABT).
d) οἱ δέ, ὅτι ἀπὸ τῶν ἱερατικῶν χρημάτων ᾠκοδόμησαν αὐτά (= Herodori narratio, v. infra; unde corrigendum crediderim ᾠκοδόμησεν).	

schol. Lyc. 522 *(Th)*: ... Πρόφαντος δὲ ὁ Ποσειδῶν· Ἡρόδωρος δὲ (fr. 18) ταῖς ἀληθείαις οὔ φησι κτίσαι αὐτοὺς τὴν πόλιν, ἀλλὰ Λαομέδοντα χρήματα καταθέμενον εἰς τὰς ὁσίας αὐτῶν ἀναλῶσαι ἤτοι εἰς τὴν τῶν τειχῶν κατασκευήν. (hoc scholium expilatum esse a Servio ad Aen. II 610 vidit Schwartzius; cf. pag. 32₁).

schol. Pind. Ol. VIII 41 *(Di)*: τὸν παῖς ὁ Λατοῦς: (ὅντινα Αἰακὸν ὁ Ἀπόλλων καὶ ὁ Ποσειδῶν μέλλοντες τὸν στέφανον καὶ τὸ τεῖχος τῆς Ἰλίου κατασκευάζειν συνεργὸν εἵλοντο καὶ συλλήπτορα· τούτους γὰρ κατεδίκασεν ὁ Ζεὺς πρὸς τὴν τειχοποιΐαν ὑπηρετῆσαι τῶι Λαομέδοντι; ἐπειδὴ ἐπεβούλευσαν αὐτῶι εἰς τὴν βασιλείαν. ἠθέλησαν γὰρ αὐτὸν μεταστῆσαι, ὡς καὶ Ὅμηρος μνημονεύει· ‚ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Φοῖβος Ἀπόλλων (Α 399: v. s.) οὐχ ὡς ἔνιοι ‚καὶ Παλλὰς Ἀθήνη'). — (ἰδίως φησὶν ὁ Δίδυμος καὶ τούτοις χρῆσθαι τὸν Πίνδαρον· τὸν γὰρ Ποσειδῶνα καὶ Ἀπόλλωνα εἰς τὴν τοῦ τείχους κατασκευήν φησι τὸν Αἰακὸν προσλαβεῖν, ἵνα διὰ τούτου τοῦ μέρους τοῦ ὑπὸ Αἰακοῦ οἰκοδομηθέντος ἁλώσιμος γένηται ἡ Ἴλιος. παρ' οὐδενὶ δὲ πρεσβυτέρωι Πινδάρου ἡ ἱστορία.) ὁ δὲ Εὐφορίων (an. Al. 101) φησίν· ‚Ἡ γὰρ δὴ Φοῖβός τε Ποσειδάων τ' ἐκάλεσσαν Αἰακόν, οὐκ ἀβοήθητοι κρήδεμνα δέμοντες.'

de Laomedontis familia: 87

schol. Γ 250 A Ld D *(Pp)*: Λαομεδοντιάδη: μήτηρ Πριάμου (ὥς φησι Πορφύριος ἐν τῶι περὶ τῶν παραλελειμμένων τῶι ποιητῆι ὀνομάτων), κατὰ μὲν Ἀλκμᾶνα τὸν μελοποιὸν (fr. 113) Ζευξίππη, κατὰ δὲ Ἑλλάνικον (fr. 137) Στρυμώ. Σκάμων δὲ ἐν τῶι περὶ Λέσβου (fr. 6) φησὶ Θόωσαν τὴν Τεύκρου (Scamonis fr. praebetur cod. Par. 2676 = Cr. AP III 159)·

cf. schol. Υ 237 T *(Pp)*: Λαομέδων.... Τιθωνὸν τέκετο: ἐκ Στρυμοῦς τῆς Σκαμάνδρου.

schol. Lyc. 18 *(Th)*: Τιθωνόν: ἀπὸ Ῥοιοῦς τῆς Σκαμάνδρου θυγατρός ἐστιν ὁ Τιθωνός· ὁ δὲ Πρίαμος ἀπὸ Λευκίππης[1]).

de Hecuba:

scholia ad Hec. 3 (et *d* et *o* sive *Di*): 88

Πολύδωρος Ἑκάβης παῖς γεγὼς τῆς Κισσέως
Πριάμου τε πατρός:

Φερεκύδης γράφει οὕτως· (fr. 99) ‚Πρίαμος δὲ ὁ Λαομέδοντος γαμεῖ Ἑκάβην τὴν Δύμαντος τοῦ Ἠιονέως τοῦ Πρωτέως [ἢ

---

[1]) Λευκίππη audit ap. Theonem, (Tzetzam argum. ad Lyc. pag. 266 M. et in exeg. in Iliad. 38₁₂), Apollod. 111: Ζευξίππην ap. Porphyr. l. s., cuius

Σαγγαρίου τοῦ ποταμοῦ] καὶ νηίδος νύμφης Εὐαγόρας.' Γλαυκίππην δὲ ἔνιοι τὴν Ξάνθου τῆς Ἑκάβης παρέδοσαν μητέρα. Νίκανδρος δὲ Εὐριπίδηι συνδραμὼν τὴν Ἑκάβην φησὶ Κισσέως (fr. 62 Schn.)·

Ἔνθ' Ἑκάβη Κισσηίς, ὅτ' ἐν πυρὶ δέρκετο πάτρην
καὶ πόσιν ἑλκηθεῖσα παρασπαίροντα θυηλαῖς,
εἰς ἅλα ποσσὶν ὄρουσε καὶ ἣν ἠλλάξατο μορφὴν
γρήιον Ὑρκανίδεσσιν ἐειδομένη σκυλάκεσσιν[1]) (M) = *d*.

Ἑκάβης παῖς γεγὼς τῆς Κισσέως: τὰ περὶ τῆς Ἑκάβης διαφόρως ἱστόρηται. Φιλόχορος μὲν γὰρ ἐν τῶι περὶ τραγωιδιῶν συγγράμματι (IV 648) Χοιρίλην αὐτήν φησι καλεῖσθαι, ἴσως δὲ διὰ τὸ πολύπαιδα γεγενῆσθαι· ‚ἡ γὰρ χοῖρος πολλὰ τίκτει, καὶ ἐν τοῖς Ὀρφικοῖς οἱ χοῖροι ἑκάβαι προσαγορεύονται'. οἱ δὲ λοιποὶ τῶι κυρίωι αὐτὴν ὀνόματι προσηγόρευσαν. (πολλάκις δὲ ὁ Εὐριπίδης αὐτοσχεδιάζει ἐν ταῖς γενεαλογίαις, ὡς καὶ ἑαυτῶι ἐνίοτε ἐναντία λέγειν· καὶ νῦν Κισσέως ἔφη θυγατέρα τὴν Ἑκάβην μετενεγκὼν τὸν πατέρα Θεανοῦς, περὶ οὗ φησιν Ὅμηρος (Λ 223)· ‚Κισσῆς τόν γ' ἔθρεψε δόμοις ἔνι τυτθὸν ἐόντα μητροπάτωρ ὃς ἔτικτε Θεανὼ καλλιπάρηιον') (MA) = *o*.

γράφεται τῆς Κισσίας· καὶ ὑπονοοῦσιν ἀπὸ γενεᾶς τινος Φρυγίας εἰρῆσθαι ἢ ἀπὸ κώμης, ὡς Φιλόχορος ἐν τῆι πρὸς Ἀσκληπιάδην ἐπιστολῆι (l. s.) (MA: eadem M. ad v. 1) = aut *d* aut *o*. ἔνιοι Ἡετίωνος καὶ Ἱπποθόης τῆς Ἐριχθονίου Κισσέα φασὶ γενέσθαι, οὗ καὶ Τηλεκλείας τῆς Ἴλου Ἑκάβην καὶ Θεανώ (M)... *v. s.*

schol. Π 718 T *(Pp):* αὐτοκασίγνητος Ἑκάβης: Δύμαντος καὶ ΕΥΘΟΗϹ[2]) νύμφης ὡς Φερεκύδης (fr. 99)· Ἀθην(α)ίων (IV 345: fr. 2) δὲ Κισσέως καὶ Τηλεκλείας, (εἰ μὴ ἄρα ὁμομήτριος αὐτῆι ὁ Ἄσιος).

scholl. Ω 495 T *(As):* πεντήκοντα: Ἑλλάνικος (fr. om.) ν̅ς̅.[3])

89 : de Hectore:

schol. Lyc. 265 *(Th):* Πτώιου τε πατρός: Στησίχορος δὲ (fr. 69) καὶ Εὐφορίων (an. Al. 142) τὸν Ἕκτορά φασιν εἶναι υἱὸν τοῦ Ἀπόλλωνος, καὶ Ἀλέξανδρος ὁ Αἰτωλῶν (an Αἰτωλὸς? Kaibel) ποιητής (ibid. 249).

---

scripturam praetulerim. Item Ῥοιοῦς in schol. Lyc. e Στρυμοῦς (Porphyr., Apollod.) corruptum iudico; Rhoeo enim Anii mater, Staphyli filia dici solet).

[1]) Nicandri versus ap. Lysimachum cum variis de Hecubae morte fabulis (fr. 51) coniuncti fuisse videntur.

[2]) Εὐαγόρης schol. Hec. 3 praebet; Εὐρυθόης Kaibelius suspicatur.

[3]) Idem grammaticus e Nostis illustravit vs. 496: ἐννεακαίδεκα: πιθανὸν μίαν τεκεῖν ι̅θ̅, οὐχ ὡς Βακχυλίδης (fr. 59) ν̅ τῆς Θεανοῦς (Hecubae sororis) ὑπογράφει παῖδας.

schol. Γ 314 A *(Pp):* Πριάμοιο πάϊς: Πορφύριος ἐν τοῖς παραλελειμμένοις φησὶν ὅτι Ἕκτορα Ἀπόλλωνος υἱὸν παραδίδωσιν Ἴβυκος (fr. 34), Ἀλέξανδρος, (an. Al. 249) Εὐφορίων, (ibid. 142) Λυκόφρων (v. 265). cf. ad Ω 258 T: οὐδὲ ἐώικει ἀνδρός γε: Στησίχορος Ἀπόλλωνος αὐτόν φησιν οὐ νοήσας τὴν ὑπερβολήν..., quod utrum *As* an *Pp* tribuendum sit dubium est (Schw. 406).

de Paride (cf. etiam fr. IX s. f.): 90

schol. Androm. 277 (*d* ut videtur): ὅτ' Ἰδαίαν ἐς νάπαν ἦλθ' ὁ Μαίας τε καὶ Διὸς τόκος τρίπωλον ἅρμα δαιμόνων ἄγων τὸ καλλιζυγές: ὁ Ἑρμῆς. μέμνηται τῆς ἱστορίας ἐκείνης, ἔνθα περὶ τοῦ μήλου ἦλθον κριθησόμεναι Ἥρα καὶ Ἀθηνᾶ καὶ Ἀφροδίτη παρὰ τῶι Πάριδι. τοιαῦτά ἐστιν καὶ τὰ παρὰ Σοφοκλεῖ ἐν Ποιμέσιν (fr. 469)· ‚ἴδεν δή ποτε μηλοτρόφω † ἀγενηλιτῆει τὴν τῆς Ἴδης τριολύμπιον ἅρμα' (verba corruptissima). ἔνιοι δὲ ἐψεῦσθαί φασιν τὴν κρίσιν τῶν θεῶν, καθάπερ Ἀντικλείδης· (fr. om.) ‚τρία γάρ ἐστι τῶν ἐπιχωρίων γύναια μαχλὰ εἰς τὴν τῆς εὐμορφίας κρίσιν καταστάντα'. Χρύσιππος δὲ ἐν Ἠθικῶν Ι λογισάμενον τὸν Πάριν, τίνος δεῖ μᾶλλον ἀντέχεσθαι, πολεμικῆς ἀσκήσεως ἢ ἐρωτικῆς ἢ βασιλικῆς, νεῦσαι μᾶλλον εἰς τὰ ἐρωτικὰ καὶ οὕτως τὸν τῆς κρίσεως μῦθον συντεθῆναι.

+ 285 (cod. O): οὐρείων πιδάκων: παρὰ Ῥοδίωι ὄντως λουτρὰ δεικνύουσιν, ὅπου μυθεύουσιν τὰς θεὰς ἀπολούσασθαι. καὶ περὶ τούτων δὲ Ἀντικλείδης ἱστόρησεν.

schol. Lyc. 100 *(Th):* ..... ὥς φησι Φερεκύδης, ὅτι μετὰ ἐννέα νεῶν ἔπλευσεν ὁ Πάρις (sc. εἰς Σπάρτην).

schol. Γ 325 A *(Pp):* Πορφύριός φησιν ἱστορεῖν τὸν γράψαντα τὰ τραγωιδούμενα (fr. 11), ὅτι ὁ θρέψας τὸν Πάριν νομεὺς Ἀρχιάλας (Ἀγέλαος Apollod. bbl. 111_{37}) ἐκαλεῖτο. Ubi Asclepiadis nomen expilatoris culpa intercidit. —

Sequuntur de Graecis docta scholia his aequalia, de Achillis Atridarum Aiacis Locri familia.

de Phoci nece: 91

schol. Andr. 687 (videtur *d* deberi): οὐδ' ἂν σὲ Φῶκον ἤθελον: .... καὶ ὁ τὴν Ἀλκμαιωνίδα πεποιηκώς (fr. 1) φησι περὶ τοῦ Φώκου·

> ἔνθα μιν ἀντίθεος Τελαμὼν τροχοειδέι δισκῶι
> πλῆξε κάρη, Πηλεὺς δὲ θοῶς ἐνὶ χειρὶ τινάξας
> ἀξίνην εὐχαλκον ἐπεπλήγει μέσα νῶτα.

92 de Polydora Pelei filia:

schol. Π 175 AT (*Pp*): Πηλῆος θυγάτηρ καλὴ Πολυδώρη: Φερεκύδης (fr. 17) ἐξ Ἀντιγόνης τῆς Εὐρυτίωνος, Σουίδας (fr. 5c = IV 658: ἄλλοι *A*) ἐκ Λαοδαμείας τῆς Ἀλκμαίωνος, Στάφυλος (fr. 3: ἐν τῆι γ̄ Θεσσαλικῶν addend. e cod. A) ἐξ Εὐρυδίκης τῆς Ἄκτορος (sc. Polydoram a Peleo susceptam esse). — Ζηνόδοτος δὲ (Dü. p. 28) Κλεοδώρην φησίν Ἡσιόδου (fr. 103) καὶ τῶν ἄλλων Πολυδώρην αὐτὴν καλούντων. Zenodoteae mentionis ratio eadem est atque Demetrii Scepsii Aristodemi Thebani (pagg. 70, 75); fragmentum Pherecydis apud Aristonicum sic legitur: ὃν τέκε Πηλῆος θυγάτηρ: ὅτι Φερεκύδης τὴν Πολυδώραν φησὶν ἀδελφὴν Ἀχιλλέως· οὐκ ἔστι δὲ καθ' Ὅμηρον διαβεβαιώσασθαι: utri loco credendum sit non patet.

93 de Peleo expulso:

schol. Troad. 1128 (aut *d* aut *o*): Ἄκαστος ἐκβέβληκεν: ὁ μὲν Εὐριπίδης ὑπὸ Ἀκάστου φησὶν ἐκβεβλῆσθαι τὸν Πηλέα, εἰσὶ δὲ οἵ φασιν ὑπὸ τῶν δύο αὐτοῦ παίδων Ἀρχάνδρου καὶ Ἀρχιτέλους κατὰ τὸν καιρόν, ὅτε ἔμελλον Ἕλληνες ἐξ Ἰλίου ἐπανιέναι, ἐξεληλάσθαι καὶ ἐλθόντα εἰς ἀπάντησιν τῶι Νεοπτολέμωι προσελθεῖν διὰ χειμῶνα τῆι Κῶι τῆι νήσωι καὶ ξενισθέντα ὑπὸ Μόλωνός τινος Ἄβαντος ἐκεῖ καταλῦσαι τὸν βίον: = Callimachus: schol. Pind. Pyth. III 167 (*Di*): ὁ δὲ Πηλεὺς ἐν Κῶι τῆι νήσωι ἀτυχήσας τὸν βίον οἰκτρῶς καὶ ἐπωδύνως ἀπέθανεν, ὡς καὶ Καλλίμαχος (fr. 372) μαρτυρεῖ; idem fortasse etiam Sophocles (FTG p. 238).

schol. Ω 488 (*qh*): καὶ μέν που κεῖνον (sc. τὸν Πηλέα) περιναιέται . . . τείρουσι: . . . . λέγει δὲ Ἄκαστον καὶ τοὺς υἱοὺς Ἄρχανδρον καὶ Ἀρχιτέλην.

94 de Tantalo Pelopeque:

schol. Eur. Or. 11 (aut *d* aut *o*): οὗτος φυτεύει Πέλοπα: ἐξ Εὐρυθεμίστης τῆς Ξάνθου· ἢ Κλυτίας τῆς Ἀμφιδάμαντος, ὡς ἱστορεῖ Φερεκύδης ἐν ι̅ (fr. 93)· ὡς δὲ ἱστορεῖ * * ἐξ Εὐρυανάσσης τῆς Πακτωλοῦ.

schol. Ap. Rhod. II 358 (*Th*): τοῖσίν τ' Ἐνετήιος: ... τὸν δὲ Πέλοπα Παφλαγόνα τὸ γένος εἶπεν (ὁ Ἀπολλώνιος). ἄλλοι δὲ Λυδὸν αὐτὸν ἱστοροῦσι. ὁ δὲ Εὐφορίων (an. Al. 151) ἀμφοτέραις ταῖς δόξαις συντίθεται.

schol. Pind. Ol. I 37 (*Di*): Λυδοῦ Πέλοπος: Πίνδαρος τὸν Πέλοπα Λυδόν φησιν εἶναι. Ἴστρος δὲ (fr. 59) Παφλαγόνα,

Αὐτεσίων (IV 345) Ἀχαιὸν ἀπ' Ὠλένου πόλεως, (ἧς καὶ Ὅμηρος μνημονεύει· „καὶ Ὤλενον ἠδὲ Πυλήνην', Β 639). Eadem brevius ad IX 15 leguntur.

de Pelope mactato: 95

ibid. *(Di)*: λόγος τις τοῖς ἱστορικοῖς ἐπὶ τὸ μυθικώτερον πέπλασται, ὡς οἱ θεοὶ ἐπὶ Ἑστίαν ἐκάλεσαν τὸν Τάνταλον εἰς ἔρανον, ὅ ἐστι τὴν εὐωχίαν παρασκευάσαντες. ἐπειδὴ οὖν καὶ αὐτὸς ὁ Τάνταλος τῶι τοῦ ἐράνου τρόπωι ἀντεισφέρειν τοῖς θεοῖς εὐωχίαν ἠπόρησεν, ἀσεβοῦς ἐπιχειρήματος πρόφασιν τὸ ἄπορον ἔσχε. διακόψας γάρ τὸν Πέλοπα ἐγκαθῆκε λέβητι καὶ ἑψήσας τοῖς θεοῖς παρέθηκε· μόνην δὲ τὴν Δήμητραν τῶν κρεῶν ἀγνοίαι μεταλαβεῖν λέγουσι, τινὲς δὲ τὴν Θέτιδα· γνωρίσαντα δὲ τὸν Δία Ἑρμῆι προστάξαι ἐγκαθεῖναι πάλιν λέβητι τὰ κρέα καὶ ὑγιῆ τὸν παῖδα ἀποδοῦναι. ὁ δὲ Βακχυλίδης (fr. 55) τὸν Πέλοπα τὴν Ῥέαν λέγει ὑγιάσαι καθεῖσαν διὰ τοῦ λέβητος· (τοῦ δευτέρου ἀκουστέον)· ἀφ οὗ καὶ ὑγιὴς ἀνεδόθη. — Ἄλλως. λέγεται τῆς Δήμητρος ἀπογευσαμένης τῶν τοῦ Πέλοπος ὠμείων κρεῶν ἐλεφάντινον Ἑρμῆν ὦμον προσαρμόσαι τῶι Πέλοπι· τούτου φασὶ καὶ ὑπόμνημα τοὺς Πελοπίδας φέρειν λευκότητά τινα κατὰ τὸν ὦμον. τὸ ἐπὶ τοῦ ὤμου τοῦ Πέλοπος οἳ μὲν λευκὸν ὡς διὰ τὸν ἐλέφαντα ἔφασαν, οἳ δὲ λόγχην ἐπὶ τὸν βραχίονα, οἳ δὲ ἐπὶ τὸν ἀριστερὸν βραχίονα Γοργόνα, οἳ δὲ ἐπὶ τῆς ὠμοπλάτης τρίαιναν μαρτυροῦσαν αὐτῶι τὸν τοῦ Ποσειδῶνος ἔρωτα.

de Tantali supplicio: 96

schol. Pind. Ol. I 90 *(Di)*: ἱστορία. Ἄλλοι ἄλλως περὶ τῆς τοῦ Ταντάλου κολάσεως φασίν. οἳ μὲν γὰρ ὑποκεῖσθαι αὐτόν φασι Σιπύλωι τῶι Λυδίας ὄρει· Ζεὺς γὰρ ἀποστείλας Ἑρμῆν πρὸς αὐτόν, ἵνα τὸν κύνα λάβηι, ὃν Πανδάρεως ὁ Μιλήσιος φύλακα καταστάντα τοῦ ἱεροῦ τῆς Κρήτης παρὰ Διὸς κεκλοφὼς ἤγαγεν αὐτῶι ἵνα φυλάσσηι· ἐλθόντος οὖν Ἑρμοῦ πρὸς αὐτὸν καὶ μὴ λαβόντος τὸν κύνα — ἔφασκε γὰρ μὴ ἔχειν — ὀργισθεὶς ὁ Ζεὺς ἐπέθηκεν αὐτῶι τὸν Σίπυλον. οἳ δὲ λέγουσι διὰ τὸ ἐξειπεῖν αὐτὸν τὰ θεῖα μυστήρια τοῖς ἀνθρώποις ἐν Ἅιδου κολάζεσθαι μέσον ἑστῶτα λίμνης μέχρι τοῦ πώγωνος· ἧς ὁπότε πιεῖν ἤθελε, τὸ ὕδωρ ἐξίστατο. μαρτυρεῖ δὲ καὶ Ὅμηρος λέγων (λ 582)·

ἑστάοτ' ἐν λίμνηι· ἡ δὲ προσέπλαζε γενείωι.
στεῦτο δὲ διψάων, πιέειν δ' οὐχ εἶχεν ἑλέσθαι.

ἑστὼς δὲ ἐν τῆι λίμνηι καὶ λίθον ὑπὲρ κεφαλῆς εἶχεν αἰωρούμενον. Εὐριπίδης δὲ (v. i.) λέγει μέσον ἀέρος αὐτὸν τὸν Τάνταλον ἀοράτως κρέμασθαι καὶ λίθον ὑπὲρ τῆς αὐτοῦ κεφαλῆς αἰωρεῖσθαι.

(ἀσφαλέστερος δὲ πάντων Ὅμηρος. καὶ μαρτυρεῖ ἡ παροιμία· Ταντάλου δίψα ....).

+ ibid. 97 *(Di)*: περὶ τῆς τοῦ Ταντάλου κολάσεως ἕτεροι ἑτέρως λέγουσιν. οἳ μὲν γὰρ αὐτόν φασιν ὑποκεῖσθαι κτλ = ad 90. οἳ δέ, ὧν ἐστι καὶ Εὐριπίδης, ὡς ‚ἀκόλαστον ἔσχε γλῶσσαν αἰσχίστην νόσον (Or. 10)'. Ὅμηρος δὲ αὐτὸν ἑτέρως ὑποτίθησι τιμωρεῖσθαι· ‚Ἑστάοτ' ἐν λίμνηι, ἡ δὲ προσέπλαζε κτλ (ut supra) καὶ τὰ ἑξῆς· πλὴν εἰ μὴ κατὰ τὸν Ἀρίσταρχον νόθα ἐστὶ τὰ ἔπη ταῦτα. Ἀλκαῖος δὲ (fr. 93) καὶ Ἀλκμὰν (fr. 87) λίθον φασὶν ἐπαιωρεῖσθαι τῶι Ταντάλωι. ὁ μὲν Ἀλκαῖος· ‚<Ταντάλωι suppl. Bergk> κεῖσθαι πὰρ κεφαλᾶς μέγας † ὤας.... σιμίδα (ὦ Αἰσιμίδα Be.) λίθος'. ὁ δὲ Ἀλκμάν· ‚Ὅπως ἀνὴρ δ' ἐν ἀσμένοισιν ἀλιτηρὸς ἧστ' ἐπὶ θάκας κατὰ πέτρας ὁρέων μὲν οὐδὲν δοκέων δέ (verba corruptissima)'. ἐποίησε δὲ καὶ Ἀρχίλοχος (fr. 53)· ‚μηδ' ὁ Ταντάλου λίθος τῆσδ' ὑπὲρ νήσου κρεμάσθω'. ἔνιοι δὲ ἀκούουσι τὸν πέτρον ἐπὶ τοῦ ἡλίου. τὸν γὰρ Τάνταλον φυσιολόγον γενόμενον καὶ μύδρον ἀποφήναντα τὸν ἥλιον ἐπὶ τούτωι δίκας ὑποσχεῖν, ὥστε καὶ ἐπαιωρεῖσθαι αὐτῶι τὸν ἥλιον, ὑφ' οὗ δειματοῦσθαι καὶ καταπτήσσειν. περὶ δὲ τοῦ ἡλίου οἱ φυσικοί φασιν ὡς λίθος καλεῖται ὁ ἥλιος· καὶ Ἀναξαγόρου δὲ γενόμενον τὸν Εὐριπίδην μαθητὴν πέτρον εἰρηκέναι τὸν ἥλιον διά τῶν προεκκειμένων (Orest. 4—7)·

Ὁ γὰρ μακάριος, κοὐκ ὀνειδίζω τύχας,
Διὸς πεφυκὼς ὡς λέγουσι Τάνταλος
κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον
ἀέρι ποτᾶται καὶ τίνει ταύτην δίκην,

καὶ πάλιν δι' ἄλλων βῶλον λέγοντα οὕτως (Orest. 982 sq.)· ‚μόλοιμι τὰν οὐρανοῦ μέσον καὶ χθονὸς τεταμέναν αἰωρήμασι πέτραν ἁλύσεσι χρυσέαισι φερομέναν δίνησι βῶλον ἐξ Ὀλύμπου ἵν' ἐν θρήνοισιν ἀναβοάσω γέροντι πατρὶ Ταντάλωι'.

schol. Eur. Or. 982 (*d* ut videtur): μόλοιμι τὰν οὐρανοῦ: τὸ ἑξῆς· μόλοιμι πρὸς τὴν πέτραν κτλ (sequitur versuum Euripideorum παράφρασις). Ἀναξαγόρου δὲ μαθητὴς γενόμενος ὁ Εὐριπίδης μύδρον λέγει τὸν ἥλιον· οὕτως γὰρ δοξάζει. μύδρον δὲ καλοῦσι τὸν πεπυρακτωμένον σίδηρον. ἄλλως. ἡ μὲν ἱστορία λέγει τὸν Τάνταλον ἀνατεταμέναις χερσὶ φέρειν τὸν οὔρανον· νῦν δὲ ὁ Εὐριπίδης ἰδίως τὸν ἥλιον ἐπηρτῆσθαι λέγει αὐτῶι διάπυρον ὄντα μύδρον ὑφ' οὗ καὶ δειματοῦσθαι αὐτὸν ἀεί. Ἀναξαγόραι δὲ πειθόμενος μύδρον αὐτὸν εἶναι λέγει. (τινὲς δὲ κυρίως ἀκούουσι βῶλον χρυσῆν ἐπηιωρῆσθαι τῆι κεφαλῆι τοῦ Ταντάλου . . . .)

Quae scholia (Pind., Eur.) ad unum eundemque fontem revocanda sunt exemptis eis quae uncinis saepsimus. Neque Aristarcheae loci λ 582 sq. ἀθετήσεως mentionem ipsi Didymo, sed eius auctori tribuimus. Primum enim eiusmodi annotatio non potuit solum adiungi, sed etiam debuit a Lysimacho, qui annotare accurate solebat, si quorum operum pedestrium carminumve qui vulgo credebantur auctores dubii incertive essent (pag. 19, 80/81). Deinde non dissimilia sunt locorum Homericorum testimonia fr. 59, 92 allata. Tum ne quis ipsum Didymum hoc additamento auxisse Lysimachi copias contendat, impedire videtur, quod qui praeter hos in scholiis Pindaricis memorantur versus ab Aristarcho proscripti, carent ista annotatione: scholl. Pyth. IX 33 = Α 31, Isthm. II 17 = Β 161, Ol. VII 16 = Δ 320, ibid. 106 = ω 1 sq: quorum locorum secundus et quartus similis sunt generis atque schol. Ol. I 97[1]).

schol. ad Β 104 T *(As)*: Ἑρμείας δὲ ἄναξ δῶκεν Πέλοπι: Ἑρμοῦ γάρ φασιν αὐτὸν καὶ Καλύκης. (ἢ διὰ τὸν κύνα (vid. schol. ad. Pind. Ol. I 90 + 97 supra allatum). πέπλασται οὖν τοῖς νεωτέροις τὰ περὶ Οἰνόμαον καὶ τὴν χρυσῆν ἄρνα).

de Pelope et Oenomao (Myrtiloque): 97

schol. Sophocl. Electr. 504 *(Di)*: ὦ Πέλοπος: Φερεκύδης φησί (fr. 93)· Πέλοψ νικήσας τὸν ἀγῶνα καὶ λαβὼν τὴν Ἱπποδάμειαν ὑπέστρεφεν ἐπὶ τὴν Πελοπόννησον μετὰ τῶν ὑποπτέρων ἵππων καὶ τοῦ Μυρτίλου, καθ' ὁδὸν δὲ καταλαβὼν αὐτὸν προϊόντα πρὸς τὸ φιλῆσαι αὐτὴν ἔρριψεν εἰς θάλασσαν'.

schol. Eur. Or. 989 (aut *d* aut *o*): ἀνεῖλε δὲ τὸν Μυρτίλον προσδοκήσας καὶ αὐτὸς ὁμοίως ὑπ' αὐτοῦ προδοθήσεσθαι, ἵνα μὴ ἐξείπῃ[2]) ὅτι αὐτὸς ἐνίκησε καὶ οὐχ ὁ Πέλοψ. οἱ δέ, ὅτι μετὰ τὴν νίκην ὡς φίλον συλλαβόμενος τὸν Μυρτίλον ἐξεδίφρευσε ζηλοτυπήσας εἰς Ἱπποδάμειαν (= Pherec.)

schol. Ap. Rhod. I 752 *(Th)*: δηριόωντες: ἀγωνιζόμενοι. ὁ γὰρ Οἰνόμαος, Ἄρεως ὢν παῖς καὶ Ἀρπίνης τῆς Ἀσωποῦ ἤτοι Εὐρυθόης τῆς Δαναοῦ, θυγατέρα ἔχων Ἱπποδάμειαν καὶ χρησμὸν λαβὼν ἀναιρεθῆναι ὑπὸ τοῦ ἰδίου γαμβροῦ οὐκ ἐβούλετο ἐκδοῦναι αὐτήν, εἰ μὴ νικήσαντι δι' ἵππων. προέκειτο δὲ αὐτοῖς Κλάδεως ποταμὸς ἀφετηρία, Ἰσθμοῖ δὲ τὸ τέρμα. καὶ ἀνεῖλεν τρεῖς καὶ

[1]) Praeter hunc inveni locum unum quo ἀθετήσεως fit mentio, schol. ad Ol. VII 62 ἄλλως = Β 670: at ab Aristarcho non 670 sed 669 expunctum esse e scholiis efficitur ad 668, 669, 670 = schol. ad Pindari Ol. VII 62 prius.

[2]) Correxerim ⟨ἢ⟩ ἵνα μὴ ἐξείπῃ κτλ.

δέκα μνηστῆρας, ὡς Πίνδαρος ἱστορεῖ (Ol. I 127). ἐλθόντος δὲ τοῦ Πέλοπος ἐπὶ τὸν ἆθλον μετὰ ἵππων δεδομένων αὐτῶι ὑπὸ Ποσειδῶνος ἐρασθεῖσα ἡ Ἱπποδάμεια ἔπεισεν Μυρτίλον, τὸν Ἑρμοῦ μὲν παῖδα ἁρματοπηγὸν δὲ καὶ ἡνίοχον Οἰνομάου, παρασκευάσαι ὡς κατατροχίσαι τὸν πατέρα, βουλομένη Πέλοπι γήμασθαι, σκευάσαντα τὸν ἔμβολον ἐκ κηροῦ, ἵνα ἐν τῶι δρόμωι θλασθέντος αὐτοῦ νικήσας Πέλοψ λάβηι αὐτὴν πρὸς γάμον. Φερεκύδης δὲ ἐν η φησίν (fr. 93), ὅτι οὐκ ἐνέθηκεν ἐν τῶι ἄξονι τὸν ἔμβολον, καὶ οὕτως ἐκκυλισθέντος τοῦ τροχοῦ ἐκπεσεῖν τὸν Οἰνόμαον. αἱ δὲ τοῦ Οἰνομάου ἵπποι Ψύλλα καὶ Ἅρπιννα. ὁ δὲ Μυρτίλος Ἑρμοῦ υἱὸς ἐκ μιᾶς τῶν Δαναοῦ θυγατρῶν Φαεθούσης, οἳ δὲ ἐκ Κλυμένης, οἳ δὲ ἐκ Μυρτοῦς μιᾶς τῶν Ἀμαζόνων.

schol. Lyc. 163 *(Th)*: πανώλεθρον κηλῖδα: καθηράσατο γὰρ ὁ Μυρτίλος τῶι γένει τῆς Ἱπποδαμείας, διότι ὡς ἐρῶν αὐτὴν εἰς θάλασσαν ἐρρίφη, ὥς φησιν Εὐριπίδης ἐν Ὀρέστηι (v. 990, 1548). Quo loco, ut in schol. Or. 989, duae causae diversaeque (καθηράσατο κτλ + διότι ὡς ἐρῶν αὐτήν) inter se coniunctae videntur, quarum altera (διότι κτλ) Pherecydeae satis est similis; Euripides vero ne affert quidem causam: itaque statuendum est aut verba ὥς φησιν Εὐριπίδης non nisi ad εἰς θάλασσαν ἐρρίφη pertinere, aut Theonem non ipsam Orestem: sed collectionem inspexisse variarum discrepantiarum easque confudisse.

schol. Pind. Ol. I 127 *(Di)*: τρεῖς τε καὶ δέκα ἄνδρας ὀλέσσαις: οἱ ἀναιρεθέντες (sc. μνηστῆρες Ἱπποδαμείας) οὗτοί εἰσι· Μέρμνης Ἱππόθους Πέλοψ ὁ Ὀπούντιος Ἀκαρνὰν Εὐρύμαχος Εὐρύλοχος Αὐτομέδων Λάσιος Χάλκων Τρικόρωνος Ἀλκάθους ὁ Πορθάονος Ἀριστόμαχος Κρόκαλος· τούτωι τῶι ἀριθμῶι τῶν ἀπολωλότων μνηστήρων καὶ Ἡσίοδος (fr. om.) καὶ Ἐπιμενίδης (FHG IV 405) συμμαρτυρεῖ. τινὲς δὲ οὕτως αὐτούς φασι ιε· Μέρμνην Ἱππόστρατον Αἰολοπέα Πείραντα Ἀκαρνᾶνα Ἱππομέδοντα Ἀλκάθουν Εὐρύαλον Εὐρύμαχον Κρόκαλον Ἀκρόκομον Σκόπελον Λυκοῦργον Λάσιον Χάλκωνα. τινὲς δὲ καὶ τοὺς δέκα τρεῖς οὕτω· Μέρμνωνα Ἱππόθοον Πέλοπα τὸν Ὀπούντιον Εὐρύμαχον Εὐρύλοχον Ἱππομέδοντα Λάσιον Χάλκωνα Αἴολον Τρικόρωνον Ἀκαρνᾶνα Ἀλκάθουν Ἀριστόμαχον. ἄλλοι δὲ ἕξ εἶναι λέγουσι· Τρικόρωνον Ἀριστόμαχον Κυριάνοντα Αἴολον Πελάγοντα Κρόνιον.

schol. Eur. Or. 998 (aut *d* aut *o*): τὸ χρυσόμαλλον ἀρνός: . . . . Ἑρμοῦ δὲ καὶ μιᾶς τῶν Δαναοῦ θυγατέρων Φαεθούσης ἐγένετο Μυρτίλος. οἳ δὲ ἐκ Κλυμένης φασὶν αὐτὸν καὶ Διὸς γεγενῆσθαι.

de Pelopis filiis: 98

schol. Pind. Ol. I 144 *(Di):* ἃ τέκε λαγέτας ἕξ: (ἥτις Ἱπποδάμεια ἔτεκε λαγέτας ἕξ . . . λέγει δὲ Ἀτρέα Θυέστην Πιτθέα Ἀλκάθουν Πλεισθένη Χρύσιππον). Ἄλλως. Ἀτρεὺς Θυέστης Ἀλκάθους Ἵππαλκμος Πιτθεὺς ἐκ Δίας ἢ Χρύσιππος ἐξ Ἀξιόχης νύμφης καὶ Πλεισθένης ἐξ ἄλλης. τινὲς δὲ οὕτως· Ἀτρέα Θυέστην Ἵππαλκμον Πλεισθένην Πιτθέα Πέλοπα τὸν νεώτερον.

ibid. 149 *(v. s.):* Τύμβον ἀμφίπολον: τινές φασι μνῆμα, ἄλλοι ἱερὸν εἶναι τοῦ Πέλοπος καὶ πρὸ τοῦ Διὸς αὐτῶι τοὺς Ἠλείους θύειν τοῦ Ἡρακλέους πρώτου κατὰ τιμὴν τοῦτο πεποιηκότος.

de Atreo et Thyesta: 99

schol. Or. 995 (aut *d* aut *o*): ὅθεν δόμοισι τοῖς ἐμοῖς: ἄλλως: ἀκολουθεῖν ἂν δόξειε τῶι τὴν Ἀλκμαιωνίδα (fr. 6) πεποιηκότι εἰς τὰ περὶ τὴν ἄρνα, ὡς καὶ Διονύσιος[1]) ὁ κυκλογράφος φησί (fr. 3). Φερεκύδης δὲ (fr. 93) οὐ καθ' Ἑρμοῦ μῆνίν φησι τὴν ἄρνα ὑποβληθῆναι, ἀλλ' Ἀρτέμιδος. ὁ δὲ τὴν Ἀλκμαιωνίδα γράψας τὸν ποιμένα τὸν προσαγαγόντα τὸ ποίμνιον τῶι Ἀτρεῖ Ἀντίοχον καλεῖ.

schol. Or. 998 ἄλλως *(v. s.):* . . . . . ὁ δὲ Ἀτρεὺς βουλόμενος δεῖξαι ὅτι αὐτοῦ ἐστιν ἡ βασιλεία ἔφη δεῖξαι ὅτι χρυσόμαλλος ἀρνειὸς αὐτῶι ἐτέχθη. τούτου δὲ ὑπονοθεύσας τὴν γυναῖκα Θυέστης ἔκλεψε τὸν ἀρνειόν. μὴ δυνηθεὶς οὖν κατὰ τὴν ὑπόσχεσιν δεῖξαι ὁ Ἀτρεὺς ἔμελλεν ἀφαιρεῖσθαι τὴν βασιλείαν ἐκείνου τὸ ὑπ' αὐτοῦ ὑποσχεθὲν δεικνύντος, εἰ μὴ ὡς ἂν φιλόσοφος ἀπέδειξεν

---

[1]) Dionysius cyclographus de fonte Euripideo — si quidem de eo egisse utique putandus est; potest enim scholium simili corruptela laborare ac scholii ad Rhes. 29 initium = fr. 71 — non tam data opera quaesivisse quam per digressionem dixisse videtur. Quam autem Bethe de Dionysio cyclographo (Hermae XXVI 627_1) dubitanter sane protulit coniecturam, sc. Dionysii cyclum non diversum videri ab ipso compendio fabulari (cf. cap. IV), ea inde refutatur quod Dionysii narrationes appositae fuerunt a Lysimacho (fr. X): iam vero is, qui historiae fabularis duos gyros tractarit libris peculiaribus perdoctis peramplisque, compendii universalis putandus est auctor potius quam expilator. — Equidem, si quid ex ipso operis nomine efficere licet, cyclo Dionysiano historiam fabularem totam, quanta cycli qui dicitur epici carminibus continebatur, filo uno perpetuoque fuisse narratam crediderim; quam igitur ad tragoedias Asclepiades tragodumenorum scriptor, eandem ad carmina ea epica contulisse mihi videtur Dionysius.

αὐτοὺς ἀσεβοῦντας εἰ Θυέστην βασιλέα ἕλωνται, τεκμήριον δὲ τῆς ἀσεβείας τὸν ἥλιον καὶ τὰς Πλειάδας ἐκ δύσεως ἀνίσχοντας. καὶ οὕτως ἐβασίλευσε καὶ τὸν ἀδελφὸν σφόδρα ἐτιμωρήσατο. τινὲς δέ φασι τὸν Δία πρὸς χάριν Ἀτρέως ποιῆσαι τὸν ἥλιον καὶ τὰς Πλειάδας ἐκ δύσεως ἀνατεῖλαι μεταστρέψαντα τὴν τάξιν ἐν μιᾶι ἡμέραι. Potest hoc scholium etiam compendio fabulari (cap. IV) tribui, unde fluxisse videntur scholl. ad 4, 15, 16, 33, 457, 990 et q. s. r., cf. Schwartz. Schol. Eur. II 409.

schol. δ 517 *(?)*: Μαλειάων ὄρος .... ὅθι δώματα ναῖε Θυέστης: Ἄνδρων (fr. 9) τὴν Θυέστου οἴκησιν περὶ Κύθηρα ὑφίσταται.

100 de Agamemnonis Menelaique parentibus:

schol. Soph. Aiac. 1297 *(Di)*: ἐφῆκεν ἐλλοῖς ἰχθύσιν: ἡ ἱστορία ἐν ταῖς Κρήσσαις Εὐριπίδου (N. 502), ὅτι διαφθαρεῖσαν αὐτὴν λάθραι ὑπὸ θεράποντος ὁ πατὴρ Ναυπλίωι παρέδωκεν ἐντειλάμενος ἀποποντῶσαι, ὃ δὲ οὐκ ἐποίησεν ἀλλ' ἐνεγύησε Πλεισθένει.

schol. A 7 A (aut *As* aut *Aa* aut *Pp*): Ἀτρείδης τε ἄναξ: ἱστορία. Ἀγαμέμνων κατὰ μὲν Ὅμηρον Ἀτρέως τοῦ Πέλοπος μητρὸς δὲ Ἀερόπης, κατὰ δὲ Ἡσίοδον (fr. 121) Πλεισθένους, τὸ γένος Μυκηναῖος, ὃς ἤγαγε κτλ.... οὗτος (Αἴγισθος) γὰρ παρὰ τὸν καιρὸν τῆς ἀποδημίας ἐμοίχευε τὴν Ἀγαμέμνονος γυναῖκα Κλυταιμνήστραν. κατὰ δὲ τοὺς τραγικοὺς αὐτὴν τὴν Κλυταιμνήστραν ἀνελεῖν αὐτὸν χιτῶνι μὴ ἔχοντι διέκδυσιν τραχήλου... (cf. Eustath. ad l. l. Ἡσίοδος γὰρ καὶ ἕτεροι Πλεισθένους....), — nisi e compendio fabulari excerpta videtur ea ἱστορία; cf. etiam schol. Stat. Ach. I 36: *Atridis: usurpatum est: nam Plisthenis filii fuerunt Menelaus et Agamemno.*

101a de Agamemnonis sede:

schol. Eur. Orest. 46 (aut *d* aut *o*): ἔδοξε δ' Ἄργει: (φανερὸν ὅτι ἐν Ἄργει ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται). Ὅμηρος δὲ (B 569) ἐν Μυκήναις, Στησίχορος δὲ (fr. 39) καὶ Σιμωνίδης (fr. 207) ἐν Λακεδαίμονι.

filiabus:

101b schol. ad Soph. Electr. 157 *(Di)*: οἵα Χρυσόθεμις ζώει καὶ Ἰφιάνασσα: ἢ Ὁμήρωι (I 287) ἀκολουθεῖ εἰρηκότι τὰς τρεῖς θυγατέρας τοῦ Ἀγαμέμνονος, ἢ οἷς ὁ τὰ Κύπριά (fr. 12) φησι [Ἰφιγένειαν καὶ Ἰφιάνασσαν][1]).

[1]) em. Kaibel: ὡς ὁ τὰ Κύπρια ὁ φησιν cod.

de Oreste: 102

schol. Pind. Pyth. XI 25 *(Di)*: τὸν δὴ φονευομένου τοῦ πατρός: (ἀνείλετο ἡ τροφὸς Ἀρσινόη τὸν Ὀρέστην φονευομένου τοῦ πατρὸς ὑπὸ τῆς Κλυταιμνήστρας. ἰδίως δέ φησιν ὁ Πίνδαρος Ἀρσινόην εἶναι τὴν Ὀρέστου τροφόν). Φερεκύδης δὲ (fr. 96) Λαοδάμειαν λέγων αὐτὴν τὸν ταύτης φησὶ παῖδα ἀνῃρῆσθαι ὑπὸ Αἰγίσθου νομιζόμενον Ὀρέστην εἶναι. τὸν δὲ Ὀρέστην ἐκκλαπέντα εἶναι τριῶν ἐτῶν, ὡς Ἡρόδωρος ἐν Πελοπείαι (fr. 62).

cf. schol. Aesch. Choeph. 714 K: Κίλισσαν δέ φησι τὴν Ὀρέστου τροφόν, Πίνδαρος δὲ Ἀρσινόην, Στησίχορος (fr. 41) Λαοδάμειαν.

schol. Eur. Or. 1645 (aut *d* aut *o*): ἐνιαυτοῦ κύκλον: (ἰδίως ὁ Εὐριπίδης ἐνιαυτίσαι τὸν Ὀρέστην ἐκεῖ φησιν. ἄλλως. ποιήσαντα κύκλον ἐνιαυτοῦ. καὶ ὁ μὲν Εὐριπίδης ἐνθάδε ἐξενιαυτίσαι ⟨φησὶν αὐτὸν ὁμοίως⟩ τοῖς κατεχομένοις ἐπὶ μύσει), ὁ δὲ Ἀσκληπιάδης (fr. 15) ἱστορεῖ ὑπὸ ὄφεως δηχθέντα αὐτὸν ἐκτελευτῆσαι ⟨ἑβδομήκοντα ἐτῶν = pag. 236_{19-20}⟩. ὁ δὲ Φερεκύδης (fr. 97), ὅτι καὶ ἔπειτα τὸν Ὀρέστην αἱ Ἐρινύες διώκουσιν. ὁ δὲ καταφεύγει εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος καὶ ἵζει ἱκέτης πρὸς τῶι βωμῶι. αἱ δὲ Ἐρινύες ἔρχονται ἐπ' αὐτὸν θέλουσαι ἀποκτεῖναι καὶ ἐρύκει αὐτὰς ἡ Ἄρτεμις. ἐξ οὗ καὶ ἡ πόλις αὕτη Ὀρέστειον καλεῖται [ἀπὸ Ὀρέστου].

ibid. 1648: ἐνθένδε τ' ἐλθών: περὶ τῆς Ὀρέστου κρίσεως ἐν Ἀρείωι πάγωι ἱστορεῖ καὶ Ἑλλάνικος (fr. 82) ταῦτα γράφων· ⸤τοῖς ἐκ Λακεδαίμονος ἐλθοῦσι καὶ τῶι Ὀρέστηι οἱ Ἀθηναῖοι * * ἔφρασαν. τέλος δὲ ἀμφοτέρων ἐπαινούντων οἱ Ἀθηναῖοι τὴν δίκην ἐνέστησαν ἐννέα γενεαῖς ὕστερον ⸤ἢ τὴν Ἄρει καὶ Ποσειδῶνι περὶ Ἁλιρροθίου δίκην, μετὰ δὲ τὴν Κεφάλου τοῦ Δηιονέως, ὅστις τὴν Πρόκριν τὴν Ἐρεχθέως ἔχων γυναῖκα καὶ ἀποκτείνας ἐξ Ἀρείου πάγου δίκην δικασθεὶς ἔφυγεν, ἓξ γενεαῖς ὕστερον. μετὰ δὲ τὴν Δαιδάλου δίκην Τάλω τὸν ἀδελφιδοῦν σοφίας πέρι ἀγωνιζόμενον ἀποκτείναντος δολόεντι θανάτωι καὶ φυγόντος δίκην τρισὶ γενεαῖς ὕστερον αὕτη ἡ τῆς Κλυταιμνήστρας τῆς Τυνδάρεω Ἀγαμέμνονα ἀποκτεινάσης δίκη ὑπὸ Ὀρέστου ἐγένετο'.

Scholii extrema verba si recte se habent, non de Orestis sed de Clytaemnestrae causa agitur: idem fit in schol. vetere ad Verg. Aen. XI 268: *sane Clytaemnestram Orestes filius postea in vindictam patris necavit. quidam dicunt Clytaemnestram non manu filii, sed iudicum sententia peremptam, alii hunc Orestem filium Menelai et Helenae tradunt; quidam inventam † ingeniam aboetiam uxorem ei volunt fuisse.*

schol. Eur. Orest. 1654 = fr. 2.

Hic apte annectitur

103 de Pylade:]

schol. Eur. Or. 1233 (aut *d* aut *o*): ὦ συγγένεια: παρόσον ὁ Στρόφιος Ἀναξιβίαν [Κυδραγόρας] ἔγημε τὴν Ἀγαμέμνονος ἀδελφήν, ἐξ ἧς ἐγένετο Πυλάδης, ὡς † φησὶ Κράτης. (Schwartz Φερεκύδης?). ἢ επεὶ ὁ Στροφίου πατὴρ Κρῖσος Ἀτρέως θυγατέρα ἐγάμει τὴν Κυδραγόραν.

ibid. 1654: Ὀρέστου καὶ Ἑρμιόνης Τισαμενός, Πυλάδου καὶ Ἠλέκτρας Στρόφιος καὶ Μέδων = Hellan. fr. 43, Paus. II 16,7.

104 de Tyndarei scelere:

schol. Eur. Or. 249 (aut *d* aut *o*): ἐπίσημον ἔτεκε Τυνδάρεως: Στησίχορός (fr. 26) φησιν ὡς θύων τοῖς θεοῖς Τυνδάρεως Ἀφροδίτης ἐπελάθετο· διὸ ὀργισθεῖσαν τὴν θεὸν διγάμους τε καὶ λειψάνδρους αὐτοῦ τὰς θυγατέρας ποιῆσαι. ἔχει δὲ ἡ χρῆσις οὕτως· ‚οὕνεκά ποτε Τυνδάρεως ῥέζων πᾶσι θεοῖς μόνης λάθετ' ἠπιοδώρου Κύπριδος, κείνα δὲ Τυνδάρεω κούραις χολωσαμένη διγάμους τε καὶ τριγάμους τίθησι καὶ λιπεσάνορας'. καὶ Ἡσίοδος δέ (fr. 117)·

τῇσιν δὲ φιλομειδὴς Ἀφροδίτη
ἠγάσθη προσιδοῦσα, κακὴν δέ σφ' ἔμβαλε φήμην.
Τιμάνδρη μὲν ἔπειτ' Ἔχεμον προλιποῦσ' ἐβεβήκει,
ἵκετο δ' ἐς Φυλῆα φίλον μακάρεσσι θεοῖσιν·
ὣς δὲ Κλυταιμνήστρη προλιποῦσ' Ἀγαμέμνονα δῖον
Αἰγίσθωι παρέλεκτο καὶ εἵλετο χείρον' ἀκοίτην·
ὣς δ' Ἑλένη ἤισχυνε λέχος ξανθοῦ Μενελάου.

105 de Megapenthis uxore (cf. fr. 2, not. 2, pag. 37):

schol. δ 10 *(Pp)*: Ἀλέκτορος κούρην: οὗτος υἱὸς Ἀργείου τοῦ Πέλοπος καὶ Ἡγησάνδρας τῆς Ἀμύκλα θυγατρός· θυγάτηρ δὲ αὐτοῦ οἱ μὲν Ἰφιλόχη, οἱ δὲ Ἐχεμήλα.

+ ibid. 22 *(v. s.)*: κρείων Ἐτεωνεύς: .... Φερεκύδης δὲ ἱστορεῖ οὕτως· (fr. 93) ‚Ἀργεῖος δὲ ὁ Πέλοπος ἔρχεται παρ' Ἀμύκλαν εἰς Ἀμύκλας καὶ γαμεῖ τοῦ Ἀμύκλα θυγατέρα Ἡγησάνδραν. ἐκ τούτου δὲ γίνεται Ἀλέκτωρ'.

106a de Aiacis minoris matre:

schol. O 333 T *(Pp)*: νόθος: ἐκ Ἀλκιμάχης τῆς Φυλάκου ἦν ὁ Αἴας, (ὥς φησι Πορφύριος ἐν τῶι καταλόγωι· ἀλλ' οὐ συμφωνεῖ τῶι ποιητῆι· Ἐριώπιδος γάρ φησι τὸν Αἴαντα, v. 336).

ibid. 336 T *(Pp)*: μητρυιῆς Ἐριώπιδος: ὁμοίως τῶι ποιητῆι καὶ Ἑλλάνικος (IV 638) τὴν Ἐριώπην μητέρα Αἴαντός

φησιν· Φερεκύδης δὲ ἐν ε̅ (ibid.) καὶ Μνασέας ἐν η̅ (fr. 19) Ἀλκιμάχην, ὁ δὲ τῶν Ναυπακτικῶν ποιητὴς διώνυμον αὐτήν φησι fr. 1)·

τὴν δὲ μεθοπλοτάτην Ἐριώπην ἐξονόμαζεν,
Ἀλκιμάχην δὲ πατήρ τε καὶ Ἄδμητος καλέεσκεν.

cf. schol. Ν 694 Τ: νόθος υἱός: ἐξ Ἀλκιμάχης τῆς Φυλακοῦ (em. Schw.: Αἰακοῦ cod.) ἦν ὁ Μέδων.

de eiusdem patre: 106[b]

schol. Pind. Ol. IX 167 *(Di):* Ἰλιάδα: τοῦ Ὀιλέως παιδός, τοῦ Αἴαντος τοῦ Λοκροῦ. ἄνευ δὲ τοῦ ο εἴρηκε τὸν Ἰλιάδα, ὥς πού φησι καὶ Ἡσίοδος (fr. 142).

schol. Ο 336 Τ *(As; an Pp?* cf. 106[a]): Ὀιλεύς: τὸν Ὀιλέα Ζηνόδοτος (pag. 51 Dü) ἑπόμενος Ἡσιόδωι (l.s.) καὶ Στησιχόρωι (fr. 84) χωρὶς τοῦ ο̅ ὀνομάζει Ἰλέα, τὸ δὲ ο ἄρθρον φησίν. (γελοῖον δὲ κτλ . . . .; de Hesiodi Stesichorique sententia fortasse rectius Eustath. ad Β 527: Ἡσίοδος δέ, φασί, καὶ Στησίχορος διχῶς αὐτὸ προάγει· οὐ γὰρ μόνον τρισυλλάβως Ὀϊλεύς, ἀλλὰ καὶ δισσυλλάβως Ἰλεύς. τοῦτο δὲ καὶ ἄλλοι πολλοὶ τῶν νεωτέρων κτλ, quae ex scholio Ο 336 decerpta videntur: cf. Eust. ad h. l. = 1018 Rom.). Aristarchi de hac re nota — eaque simplicissima — patet ex Aristonici scholiis Β 527, Μ 365 rell, cf. Lehrs de Ar. stud. Hom. 177, Ludwich Ar. hom. Textkr. 346, 492: hoc vero scholio Zenodoti scriptura cum explicetur ex historia fabulari, neque tamen defendatur, praeberi Aristarchi sectatoris doctrinam e Nostis desumptam suspicor [1]). Scripturam autem Zenodoteam vel optime ipse Lysimachus memorare potuit, cf. fr. 59, 92, 96.

Deinde apte ad totum Nostorum argumentum quadrare videtur de Anio Deli rege: 107

schol. Lyc. 570 *(Th):* ὧν οὐδ' ὁ Ῥοιοῦς Ἶνις: Σταφύλου τοῦ υἱοῦ Διονύσου θυγάτηρ γίνεται Ῥοιώ· ταύτηι ἐμίγη Ἀπόλλων. αἰσθόμενος δὲ ὁ Στάφυλος ἐνέβαλεν αὐτὴν εἰς λάρνακα καὶ ἀφῆκε κατὰ θάλατταν· ἡ δὲ προσεπελάσθη τῆι Εὐβοίαι καὶ ἐγέννησεν αὐτόθι περί τι ἄντρον παῖδα, ὃν Ἄνιον ὠνόμασε διὰ τὸ ἀνιαθῆναι αὐτὴν δι' αὐτόν. τοῦτον δὲ Ἀπόλλων ἤνεγκεν εἰς Δῆλον· ὃς γήμας Δωρίππην ἐγέννησε τὰς Οἰνοτρόπους Οἰνὼ Σπερμὼ Ἐλαΐδα· αἷς ὁ Διόνυσος ἐχαρίσατο ὅποτε βούλονται σπέρμα λαβεῖν. Φερεκύδης δέ (fr. 94) φησιν ὅτι ὁ Ἄνιος ἔπειθε τοὺς Ἕλληνας παραγενομένους πρὸς αὐτὸν αὐτοῦ μένειν τὰ ἐννέα ἔτη· δεδόσθαι δὲ

---

[1]) Hornius (de Ar. stud. Pind. pag. 40) utrumque locum ipsi Aristarcho ascribit.

τοῦτο παρὰ τοῦ θεοῦ[1]· τῶι δεκάτωι δ' ἔτει πορθήσειν τὸ Ἴλιον. ὑπέσχετο δὲ αὐτοὺς ὑπὸ τῶν θυγατέρων αὐτοῦ τραφήσεσθαι· ἔστι δὲ τοῦτο καὶ παρὰ τοῖς τὰ Κύπρια (fr. 17) πεποιηκόσι· μέμνηται δὲ καί Καλλίμαχος τῶν Ἀνίου θυγατέρων ἐν τοῖς Αἰτίοις· (fr. om.) cf. ἱστορίαν schol. ζ 164 aspersam: ἡ ἱστ. καὶ παρὰ Σιμωνίδηι ἐν ταῖς κατευχαῖς (fr. 24).

Denique indicamus quae ut non minus quam fr. 107 ad Νόστους sese applicant, ita aliis quoque thesauris possunt tribui:

(108) 1. de Circa . . . schol. Ap. Rhod. III 200 (Dion. Scyt. fr. 4 = FHG II 8, Hes. Th. 1011); — potest etiam ad compendium fabularum Argonauticarum revocari (cap. IV); ceterum cf. 3, 4, 5 —
2. de Sirenibus . . . schol. μ 39 (πολλοί, ἔνιοι, Ὅμηρος);
3. de Scylla . . . schol. μ 124 (Semi fr. 18a = IV 495, Stesich. fr. 13); cf. schol. Ap. IV 828 (Acusil. fr. 5, Hom. l. s., Hes. Eoear. fr. 172, Stesich. l. s.); Serv. Dan. Aen. III 420; — 2, 3 incertum an Apollodoro περὶ θεῶν scriptori tribuere liceat —
4. de Trinacia . . . schol. Ap. Rhod. IV 965 (Timaei fr. 1, οἱ ἱστορικοί);
5. de Scheria Phaeacibusque . . . ibid. 984/992 (Aristot. Κερκ. πολ. fr. 512, Timaei fr. 54, Acusil. fr. 29, οἱ δέ, Alcaei fr. 116, Hom. ε 34 sq.); cf. schol. ε 34;
6. de Caphereo promonturio . . . schol. Troad. 90 (Neanthis fr. 36) — 4, 5, 6 possunt e docto rerum geographicarum compendio fluxisse. —

Thebanorum paradoxorum reliquiae nunc proponendae sunt et eae quae cum Oedipodis filiorum fabulis (fr. 14, 47, 48) arte cohaerent, de Septem contra Thebanos expeditione, et eae quae ad Tiresiam pertinent intimo tota cum Labdacidarum gente vinculo coniunctum.

109 de Adrasto:

schol. Pind. Nem. IX 30 *(Di)*: Φεῦγε γὰρ Ἀμφιάρηον: περὶ τῆς Ἀδράστου εἰς Σικυῶνα μεταστάσεως Ἡρόδοτος μὲν οὕτω φησίν (V 67)· οἱ δὲ Σικυώνιοι εἰώθεισαν[2]) κάρτα[2]) τιμᾶν τὸν Ἄδρηστον· ἡ γὰρ χώρη αὕτη ἦν[2]) Πολύβου· ὁ δὲ Ἄδρηστος ἦν Πολύβου θυγατριδέος, ἄπαις δὲ ὁ Πόλυβος τελευτῶν διδοῖ Ἀδρήστωι τὴν χώρην'.[2]) Μέναιχμος (app. Arr Duebn. 145) δὲ ὅ

[1]) δεδόσθαι — θεοῦ aut post Ἴλιον aut post τραφήσεσθαι transponenda esse vidit Wentzel Philol. LI, 46.

[2]) ἐώθεσαν codd. Herod., quae forma num vere Ionica sit dubium est; μεγαλωστὶ κάρτα c. H.; ἦν αὕτη c. H.; ἀρχὴν c. H., quod recte se habet.

Σικυώνιος οὕτω γράφει· ‚Χρόνου παρελθόντος πολλοῦ Πρῶναξ μὲν ὁ Ταλαοῦ καὶ Λυσιμάχης τῆς Πολύβου βασιλεύων Ἀργείων ἀποθνήισκει κατασταθεὶς ὑπὸ Ἀμφιαράου καὶ τῶν Ἀναξαγοριδῶν· Ἄδραστος δὲ ὁ ἀδελφὸς τοῦ Πρώνακτος φυγὼν ἦλθεν εἰς Σικυῶνα καὶ τὴν Πολύβου μητροπάτορος βασιλείαν λαβὼν ἐβασίλευσε τῆς Σικυῶνος καὶ τῆς Ἥρας τῆς ἀλεξάνδρου[1]) καλουμένης ἱερὸν καθ' ὅνπερ ὤικει τόπον ἱδρύσατο. τὴν δὲ ἐπωνυμίαν ἔλαβε ταύτην τὸ ἱερὸν διὰ τὸ φεύγοντα τὸν Ἄδραστον ἱδρυσασθαι καὶ καλέσαι ἱερὸν Ἥρας ἀλεξάνδρου· τὸ δὲ ‚φυγεῖν τινες ἀλᾶσθαι ὠνόμαζον.' Διευχίδας (IV 389) δὲ ἐν τῶι τρίτωι τῶν Μεγαρικῶν τὸ μὲν κενήριον τοῦ Ἀδράστου ἐν Σικυῶνί φησιν, ἀποκεῖσθαι δὲ αὐτὸν ἐν Μεγάροις. οἱ δέ φασιν· ‚Προῖτος ἐβασίλευσε τοῦ Ἄργους· τῶν θυγατέρων δὲ αὐτοῦ μανεισῶν Μελάμπους μάντις ὢν παρεγένετο· ὁμολογηθέντος δὲ αὐτῶι μισθοῦ τῶν δυεῖν μερῶν τῆς βασιλείας, ἐκάθηρεν αὐτάς· ὡς δὲ ἐκάθηρεν, ἔλαβε κατὰ τὴν ὑπόσχεσιν καὶ τὸ μὲν ἥμισυ ἐκοινωνήσατο τῶι ἀδελφῶι Βίαντι, τὸ δὲ ἥμισυ κατέσχεν αὐτῶι ὥστε γενέσθαι τὴν ὅλην βασιλείαν τριμερῆ, Μελαμποδίδας Βιαντίδας Προιτίδας. Μελάμποδος μὲν οὖν Ἀντιφάτης, οὗ Ὀικλῆς, οὗ Ἀμφιάραος. Βίαντος δὲ Ταλαός, οὗ Ἄδραστος. Προίτου Μεγαπένθης, οὗ Ἱππόνοος, οὗ Καπανεύς, οὗ Σθένελος. διαφορὰ δὲ ἐγενήθη τοῖς περὶ Ἀμφιάραον καὶ Ἄδραστον, ὥστε τὸν μὲν Ταλαὸν ὑπὸ Ἀμφιαράου ἀποθανεῖν, τὸν δὲ Ἄδραστον φυγεῖν εἰς Σικυῶνα καὶ γῆμαι τὴν Πολύβου θυγατέρα. τελευτήσαντος δὲ τοῦ Πολύβου χωρὶς ἐπιγονῆς ἀρσενικῆς τὸν Ἄδραστον ἔχειν τὴν Σικυωνίων βασιλείαν'.

schol. Phoen. 160 Palat. 343 (aut *d* aut *o*): Νιόβης Ἀδράστωι: Ἄδραστος υἱὸς Λυσιμάχης τῆς Κερκυόνος καὶ Ταλαοῦ (= Antimach. vide ad v. 150: pag. 99).

de Tydeo Polyniceque Adrasti generis: 110

schol. Phoen. 409 (aut *d* aut *o*): ἔχρησ' Ἀδράστωι: leguntur ad haec verba quinque scholia, I = *o*, II III = *d*, V = *o* + d; IV ἄλλως: ὁ χρησμὸς ὑπὸ Μνασέου οὕτως ἀναγέγραπται (fr. 48)·

Κουράων δὲ γάμους ζεῦξον κάπρωι ἠδὲ λέοντι,
οὕς κεν ἴδηις προθύροισι τεοῦ δόμου ἐξ ἱεροῖο
ἀμοῦ στείχοντας, μηδὲ φρεσὶ σῆισι πλανηθῆις.

καὶ οἱ μὲν λέγουσι ὡς ἀπὸ τῶν ἐπισήμων τῶν ἀσπίδων συνέβαλεν Ἄδραστος· ὃ μὲν γὰρ εἶχε τὸν Καλυδώνιον σῦν, ὃ δὲ τὴν

[1]) Ἀλεξάνδρου quod ne Graecus quidem ab ἀλᾶσθαι derivare potuerit in suspicionem vocat Kaibelius; idem ἀλησάνδρου conicit coll. Et. M. Ἀλησιάς: ἡ Ἀφροδίτη διὰ τὸ περὶ πᾶν ζῶιον ἀλᾶσθαι τὴν θεόν . . . .

λεοντοπρόσωπον Σφίγγα· οἱ δ' ὡς κρύους γενομένου ἀφίκοντο εἰς τὸ Ἀπόλλωνος ἱερὸν καὶ δορὰς εὑρόντες λέοντος καὶ συὸς ἀναθήματα κυνηγετῶν ἐφιλονείκησάν τε καὶ περὶ τῆς στάσεως εἰς κρίσιν ἀχθέντες τῶι βασιλεῖ τῶν γάμων ἔτυχον. ἀπείκασε γὰρ τὸν μὲν Πολυνείκην λέοντι, τὸν δὲ Τυδέα κάπρωι. ὃς ἔγημε Δηιπύλην, ὁ δὲ Πολυνείκης Ἀργείαν. Mnaseae oraculorum sylloga Lysimachum etiam fr. 39 usum esse vidimus.

111 de Amphiarao:

schol. Pind. Ol. VI 21 *(Di)*: .... (I) κατεπόθη δὲ Ἀμφιάραος οἱ μὲν περὶ Ὠρωπὸν (cf. Euphor., an. Al. 108; Soph. fr. 873), οἱ δὲ περὶ Κλεωνάς[1]). (II) τοὺς δὲ ἵππους αὐτοῦ φησιν Ἀντίμαχος (fr. 31) Ἀμυκλαίους[2]), οἱ δὲ Θεσσαλούς, ὀνόματα δὲ αὐτῶν Θόας καὶ Δίας. (III) ὁ δὲ ἡνίοχος αὐτοῦ Βάτων ἐκαλεῖτο ἢ Σχοίνικος (Σχοίνιχος? an Ὀχόνικος vel Ἐχένικος? Kaibel) συγκαταποθεὶς αὐτῶι.

112 de Hippomedonte:

schol. Phoen. 126 (aut *d* aut *o*): Λερναῖα δ' οἰκεῖ: Ἀρίσταρχος (N. 729)[3])· τοῦ Ταλαοῦ τοῦ Βίαντος τοῦ Ἀμυθάονος τοῦ Κρηθέως τοῦ Αἰόλου τοῦ Ἕλληνος τοῦ Διός· (παῖς Ἱππομέδοντος Πολύδωρος ἢ Δημοφῶν).

113 de Tydeo:

schol. Phoen. 133 (aut *d* aut *o*): παῖς μὲν Οἰνέως ἔφυ Τυδεύς: ⟨Τυδεὺς υἱὸς τοῦ⟩ Οἰνέως τοῦ Πορθάονος τοῦ Ἀγήνορος τοῦ Ἄρεως καὶ Εὐρυμεδούσης τῆς Αἰτωλοῦ (cf. Hesiod. in schol. Ap. Rhod. IV 57 = fr. 167)· οἱ δὲ τὸν Ἀγήνορα Πλευρῶνος τοῦ Αἰτωλοῦ τοῦ Ἐνδυμίωνος τοῦ Ἀεθλίου τοῦ Διὸς καὶ Πρωτογενείας τῆς Δευκαλίωνος, μητρὸς δὲ Περιβοίας τῆς Ἱππονόου τοῦ Οἰκλέους τοῦ Ἀστακοῦ τοῦ Ερμοῦ καὶ Ἀστάβης (Ἀστάκης? Kaibel) τῆς Πηνειοῦ.

schol. Ξ 120 T *(Pp)*: . . . . γέγονε δὲ ὁ Τυδεὺς ἐκ Γόργης (= Pisandr. fr. 20 ap. Apollod. pag. 19/20) ἢ Περιβοίας (Hipponoi filia = Thebaid. fr. 6, Hesiod. fr. 97, τινὲς ap. Ap. l. s).

schol. Δ 399 ABT (aut *Pp* aut *As)*:

τοῖος ἔην Τυδεὺς Αἰτώλιος, ἀλλὰ τὸν υἱὸν
γείνατο εἷο χέρηα μάχηι ἀγορῆι δέ τ' ἀμείνω:

Ἀντίμαχός (fr. 12) φησι παρὰ συφόρβοις τετράφθαι Τυδέα.

---

[1]) Ungerus Κνωπίας e Strab. IX 404.

[2]) corr. Stollius: ἀσυστάτους trad.

[3]) De grammatico cum vix cogitari possit, intellegendus est poeta tragicus; is vero non Ταλαός dixit, sed Καλαός (Lys. fr. 114).

Εὐριπίδης δὲ (Suppl. 902) οὐκ ἐν λόγοις φησὶν εἶναι δεινόν (λαμπρόν codd. Eur.), ἀλλ' ἐν ἀσπίδι.[1])

de Parthenopaeo: 114

